καὶ [1] ἡ ὀσφύς· ἐπειδὰν δὲ συχνὸς χρόνος γένηται, καὶ ἐν γαστρὶ ἔχῃ, διαφθείρει καὶ ἐκβάλλει, καὶ ὕδωρ ξὺν αὐτῷ ἐκχέεται, καὶ ἡ γυνὴ θνήσκει ὡς ἐπὶ τὸ πουλύ· τὸ δὲ αἷμα φθείρεται, καὶ ὑδεροῦνται. Ταύτην [2] γαλακτοποτέειν, καὶ τῶν μηκώνων πίνειν, ἔστ' ἂν τὸ ἔμβρυον κινέεσθαι δύνηται· ἔτι δὲ [3] πρὸ τούτου ὡς ἐπιτοπουλὺ διαφθείρεται καὶ ἐξαμβλίσκεται, καὶ αἵματος καὶ ὕδατος ῥέουσιν αἱ μῆτραι· ταῦτα δὲ πάσχει οὐδέν τι μᾶλλον ἐκ πόνου ἢ ἄλλως. [4] Τούτῳ δ' ἂν γνοίης ὅτι ὕδρωψ ἐστὶν, εἰ ἀφάσσων τῷ δακτύλῳ ὄψει τὸ στόμα αὐτέων ἰσχνὸν καὶ περίπλεον ὑγρασίης. Ἢν [5] δὲ αὕτη τὸ ἔμβρυον μὴ κατ' ἀρχὰς, ἀλλ' ἤδη δίμηνον, διαφθείρηταί τε καὶ ἀποπνίγηται, ἥ τε γαστὴρ [6] ἡ νειαίρη ἐπανοιδέει, καὶ ἁπτομένη ἀλγέει ὡς ἕλκος, καὶ πυρετὸς μέγας αὐτὴν καὶ βρυγμὸς λαμβάνει, καὶ ὀδύνη ἰσχυρὴ τοῦ αἰδοίου, καὶ τὴν [7] νειαίρην γαστέρα καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας καὶ τὴν ὀσφὺν ὀξέη τε καὶ σπερχνή. Ὅταν οὕτως ἔχῃ, λούειν αὐτὴν θερμῷ, ἣν ἡ ὀδύνη ἔχῃ, καὶ χλιάσματα προσάγειν, [8] πειρεόμενον ὅ τι ἂν μάλιστα προσδέχηται, καὶ φάρμακον καθαρθήριον κάτω· διαλιπεῖν δὲ χρόνον, ὅσον αὐτῇ δοκέει ἱκανὸς εἶναι, καὶ κλύσαι, καὶ [9] πυριῆσαι, καὶ τὴν κυκλάμινον ἐν ῥάκει μέλιτι δεύων προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων· καὶ τῆς κυπαρίσσου [10] καταξύσας καὶ τέγξας ἐν ὕδατι, προσθεῖναι ὡσαύτως, ἐλάσσονι δὲ

[1] Ἡ om. Cθ. – ὀσφῦς FGH. – χρόνον J. – ἔχῃ ἐν γ. C. – ἔχῃ ἐν τῇ γ. θ. – διαφθείρῃ I. – ἐκβάλλῃ FGI. – σὺν θ. – ἐκχεῖται θ. – χέεται vulg. – αὕτη pro ἡ γ. Cθ. – ἐπιτοπολὺ vulg. – ἐπὶ τὸ πουλὺ CDFHIJK. – ὑδεροῦται vulg. – ὑστεροῦται, al. manu ὑδεροῦται D. – ὑδεροῦνται θ. — [2] γαλακτοπωτέειν θ. – καὶ τ. μ. om. (D, al. manu καὶ μηκ.) FG(H, al. manu καὶ τῶν μηκ.) IJK. – τῶν Cθ. – τῶν om. vulg. – μηκόνων Cθ. – κινῆσθαι τὸ ἔμβρυον θ. — [3] πρὸς vulg. – πρὸ θ, Cornar., Foes in not., Lind. – ἐπὶ τὸ πολὺ Kθ. – ὡς τὸ πολὺ C. – ἐξαμβλήνεται K. – ἐξαμβλίσκεται θ. – ἐξαμβλύνεται vulg. – καὶ αἵμ. om. C. – καὶ ὕδ. om. θ. – ῥαίουσιν θ. – δὲ om. K. – τοι pro τι C. — [4] τοῦτο vulg. – τούτω Cθ. – ὕδροψ FGIK. – εἰ om. θ. – ἐσαφάσσων θ. – ὄψῃ θ. – αὐτῶν vulg. – αὐτοῦ JK. – αὐτέων θ. – περίπλεων DFGIJK. – ὑγρασίη θ. — [5] δὲ (addit καὶ L) ἐν (καὶ pro ἐν DFGHIJK, Ald.; ἐν om. Cθ) αὐτῇ (αὐτὴ C; αὕτη DHθ) τὸ vulg. – διαφθείρεταί τε καὶ ἀποπνίγεται vulg. – διαφθείρηταί τε καὶ ἀποπνίγηται CJθ, Cordæus, Lind. — [6] ἡ om. DFJK. – νιαιρα θ. – νειαιρὴ Lind. – νειέρη FGIK, Ald., Frob., Cordæus. – ἐπανοιδέη J. – καὶ om. C. – ἀλγέη J. – καὶ pro ὡς K. – ἕλκεος θ. – αὐτῇ DFIK. – λαμβάνῃ J. – τὸ αιδοῖον L, Cordæus, Lind. — [7] νιαιραν θ. – νειαιρὴν Lind. – νειέρην FGIK, Ald., Frob., Cordæus. – ὀξεῖα vulg. – ὀξεία I. – ὀξέη θ. – ὑπερχνὴ (sic) pro σπ. C. – λούειν

ou peu davantage. Le ventre enfle ainsi que le pénil, les jambes et les lombes. Quand beaucoup de temps s'est écoulé et qu'elle est grosse, le fœtus meurt et est expulsé, et de l'eau s'écoule en même temps. Les femmes succombent la plupart du temps; le sang se corrompt, et elles deviennent hydropiques. En ce cas, il faut mettre à l'usage du lait et faire boire des pavots jusqu'à ce que le fœtus puisse se mouvoir. Toutefois, la mort du fœtus et son expulsion surviennent communément avant ce temps, et la matrice laisse écouler du sang et de l'eau. Ces accidents ne surviennent pas plus après de la fatigue qu'autrement. Vous reconnaîtrez qu'il y a de l'eau, à ceci : en touchant avec le doigt, vous trouverez l'orifice mince et plein d'humidité. Si l'avortement survient non pas dès le début, mais le fœtus ayant déjà deux mois, et que la femme éprouve de la suffocation, le bas-ventre se tuméfie, il est douloureux au toucher comme s'il y avait une plaie; grande fièvre; grincement de dents; douleur aiguë et intense aux parties génitales, au bas-ventre, aux hanches, aux flancs et aux lombes. Les choses étant ainsi, on lavera la malade avec de l'eau chaude s'il y a douleur, et on fera des applications chaudes, essayant celles qui sont le mieux supportées; on fera boire un médicament qui évacue par le bas; après un intervalle tel que vous le jugerez suffisant pour la femme, injection, fumigation; pessaire avec du cyclamen, mouillé avec du miel, mis dans un linge et appliqué à l'orifice de la matrice; ou raclez du cyprès, mouillez avec de l'eau et appliquez semblablement; mais vous laisserez ce pessaire moins longtemps et vous l'appliquerez à des intervalles plus éloignés, attendu

(λούην F) τε (τε om. θ) vulg. – ἡ CIKθ. – ἡ om. vulg. — [8] πειραόμενον Cordæus. – περιελόμενον C. – πειρόμενος θ. – πειρεώμενον Lind. – διαλειπεῖν (sic) θ. – ὅσος I – αὐτὴ H. – ἄν σοι pro αὐτῇ Cornar., Lind. – δοκέῃ vulg. – δοκέει CFHIJθ. – ἰκ. om. θ. — [9] πυριᾶν θ. – πυρίην C. – καὶ om. θ. – τῆς κυκλαμίνου Cθ. – ἐς (εἰς J; ἐν θ) ῥάκος (ῥάκει θ) vulg. – δὲ υων (sic) θ. – προσθῆναι (bis) FG, Ald., Frob., Lind: — [10] καταψύξας θ. – τάξας pro τέγξ. C. – ἐλάσσω δὲ χρόνον θ. – πλείονος vulg. – πλέωνος θ. – τούτω (G, eadem manu, erat prius τοῦτο), Ald. – ὅσον DH.

χρόνῳ καὶ διὰ πλέονος τοῦτο, ὅσῳ μᾶλλον δάκνει καὶ [1] ξαίνει, καὶ μήλην ποιησάμενος κασσιτερίνην ἐγκαθιέναι, καὶ τῷ δακτύλῳ ὡσαύτως, καὶ τὰ ποτήματα ὅ τι ἂν μάλιστα προσίηται πιπίσκειν, καὶ [2] ξυγκοιμάσθω τῷ ἀνδρὶ ὡς μάλιστα τῶν καιρῶν παρόντων· ἢν γὰρ [3] ξυλλάβῃ τὴν γονὴν καὶ κυήσῃ, ὑπεκκαθαίρεται καὶ τὰ πρόσθεν ὑπόντα ξὺν αὐτοῖσι, καὶ οὕτως ἂν μάλιστα ὑγιὴς γένοιτο.

61. Ἢν δὲ γυνὴ [4] ὑδρωπιήσῃ, οἷα τοῦ σπληνὸς ὑδατώδεος καὶ μεγάλου ἐόντος, γίνεται δὲ ὁ σπλὴν ὑδατιώδης ἀπὸ τοῦδε τοῦ παθήματος, ἐπὴν πῦρ ἔχῃ καὶ [5] μὴ ἀφίῃ τὴν ἄνθρωπον, καὶ δίψα μιν λαμβάνῃ καρτερὴ, καὶ πίνῃ, καὶ μὴ ἀπεμέῃ· τὸ μὲν γὰρ ἐς τὴν κύστιν διελθὸν διουρέεται, τὸ λοιπὸν δὲ [6] ὁ σπλὴν ἕλκει ἐς ἑωυτὸν ἀπὸ τῆς κοιλίης ἅτε ἀραιὸς ἐὼν καὶ σπογγοειδὴς κείμενός τε κατὰ τὴν κοιλίην· καὶ ἢν τούτων οὕτως ἐχόντων μὴ ἱδρώσῃ, [7] μηδέ οἱ ἡ κύστις διηθῇ, [8] μηδὲ ἡ κοιλίη χαλᾷ, διαίρεται ὁ σπλὴν ὑπὸ τοῦ ποτοῦ, καὶ μᾶλλον ἢν ὕδωρ ᾖ τὸ ποτὸν, καί μιν ἤν τις ἐπαφήσαιτο, μαλθακῶς ὡς μνοῦς [9] ἐστιν, ἔστι δ' ὅτε ἀντιτυπεύμενος· ἀερθεὶς δὲ καὶ ὑπερπιμπλάμενος ἐκδιδοῖ κατὰ τὰς φλέβας τῷ σώματι, καὶ μάλιστα ἐς τὸ [10] ἐπίπλοον καὶ τοῖσιν ἀμφὶ τὴν κοιλίην ἐοῦσι χωρίοισι καὶ τοῖσι σκέλεσιν· ἕτερον γὰρ ἑτέρῳ διεκδιδοῖ ἐν τῷ σώματι, ἐπὴν πλέον ἑκάστῳ τοῦ καιροῦ ᾖ καὶ μὴ δύνηται κατέχειν. Ἐπιγίνεται [11] δὲ ἀπὸ τούτου ὕδρωψ αἰεὶ, ἐπὴν μάθῃ ὁ σπλὴν ἕλκειν ἐς ἑωυτὸν [12] φύσει ἀραιὸς ὢν καὶ μανός. Γίνεται δὲ ἔστιν ᾗσιν ἀρχὴ αὕτη τῆς νούσου

[1] Ξηραίνει (D, al. manu ξαίνει) HQ'. – ἐξινιει (sic) θ. – On pourrait fort bien lire ἐξινέει. – κασιτ. C. – ἐνκαθισεα (sic) pro καθ. θ. – ἐγκαθίσαι C. — [2] σ. θ. – τῷ om. Cθ. — [3] σ. vulg. – ξ. C, Lind. – Post κυ. addunt καὶ τέκῃ Cornar., Foes in not., Lind. – κυπεκκαθαίρεται (sic) C. – ὑπιόντα vulg. – ὑπόντα θ. – σὺν αὐτέοις θ. – ὑγιὴς om. (D, restit., al. manu post γέν.) HIJK, Ald. — [4] ὑδροποιήσῃ DFGJK. – ὑδροποτήσει J. – ὑδροπιήσῃ C, Ald. – οἱ αὐτοῦ (αὐτῇ J) (οἷα τοῦ Cθ, Lind.) σπλ. vulg. – Post μεγ. addunt δὲ C, οἱ θ. – δὲ pro τοῦδε K. — [5] μὴ om. θ. – τὸν (τὴν HCθ, Cordæus) ἄνθρ. vulg. – ἀπεμῇ θ. – ἀπεμέσῃ vulg. – γὰρ om. θ. – διουρεῖται θ. — [6] ὁ σπλὴν λαμβάνει διαδιδῶν ἀπὸ τῆς κοιλίης πρὸς ἑωυτὸν, ἅτε vulg. – ὁ σπλὴν ἕλκει ἐς ἑωυτὸν ἀπὸ τῆς κοιλίης, ἅτε Cθ. – ὢν vulg. – ἐὼν Cθ. – οὕτως (οὕτω θ) γινομένων Cθ. – ἱδρώῃ θ. — [7] μηδέ οἱ ἡ κύστις διηθῇ θ. – μ. οἱ ἡ κ. δ. om. vulg. — [8] μηδ' θ. – χαλᾶται vulg. – χαλᾷ θ. – αἴρεται vulg. – διαίρεται θ. – ὑπὸ τούτου (τοῦ πότου θ; τοῦ ποτοῦ L, Lind.) vulg. – ὑδάρεος (sic) θ. – ἐπαφήσετο FGHI, Ald. – μαλθακῶς FJC, Ald. – χνοῦς vulg. – μνοῦς G (D, al. manu χνοῦς) FGHIJKθ, Ald. — [9] ἐστιν om. Cθ. – δὲ ὅτε ἀντιτυπεόμενος C. – ἀρθεὶς Dθ. – πιμπλάμε-

qu'il mord et irrite davantage. Vous aurez une sonde d'étain que vous introduirez, et le doigt de même. Vous essayerez quels sont les breuvages qui passent le mieux à la malade. Elle dormira avec son mari surtout aux époques opportunes ; car, si elle reçoit la semence et devient enceinte, elle se purge en accouchant, et avec cette purgation s'en vont les matières qui séjournaient auparavant : c'est surtout de cette façon qu'elle recouvrera la santé.

61. (*Hydropisie générale causée par une affection de la rate. Cette hydropisie gagne la matrice.*) Une femme est prise d'hydropisie par le fait de la rate, qui devient aqueuse et grosse. La rate devient aqueuse de cette façon : la femme a une fièvre qui ne la quitte pas, elle est très-altérée, elle boit et ne revomit pas ; car une partie de la boisson, allant à la vessie, est chassée par les urines ; le reste est attiré par la rate qui le pompe hors du ventre, attendu qu'elle est lâche, spongieuse et située près du ventre. Si, la chose étant ainsi, il n'y a ni sueur, ni filtration par la vessie, ni flux de ventre (Quatrième livre des Mal., § 57), la rate est distendue par la boisson, surtout si la boisson est de l'eau. En palpant la rate, on la sent molle comme du duvet ; parfois elle est rénitente. Distendue et remplie outre mesure, elle répartit le liquide par les veines du corps, et surtout à l'épiploon, aux régions ventrales et aux membres inférieurs ; car, dans le corps, une partie fournit à l'autre, quand, ayant plus qu'il ne faut, elle ne peut retenir cette surabondance. Ceci cause constamment une hydropisie, quand la rate, qui est lâche et poreuse, a pris l'habitude d'absorber. En quelques cas, le début de la maladie est même sans fièvre,

νος vulg. – ὑπερπιμπλ. θ. – τὰς om. CDHθ. — [10] ἐπίπλοιον C. – ἐπιπλεῖον θ. – σκελέειν (sic) θ. – ἐκδιδοῖ D. – διεκδίδοιεν τῷ C. – Ante ἐπὴν addit καὶ μάλιστα θ. — [11] δὲ om. D. – ἀπὸ τοῦ (τούτου θ) (ἀπὸ ποτοῦ Cordæus ; ἀπὸ τοῦ ποτοῦ L, Lind.) ὕδ. (ὕδρωψ FJK) vulg. – αἰεὶ om. θ. — [12] καὶ φ. ἀρ. ἡ Cθ (Ald., ὧν). – μακρὸς pro μανὸς D. – δὲ (δ' θ) αἷς (ἔστιν ἧσιν pro αἷς CH) ἀρχὴ vulg. – αὐτῆς L. – τῆς νούσου αὕτη Cθ. – νόσου vulg. – νούσου DJ, Lind. – καῦμά τι (καύματι C) (ἐν pro τι θ) τῇ vulg. – ἐνσταίη vulg. – ἐνστῇ θ. – οἷκ om. θ. – ὕδατος pro φλ. L. – κατελθόντος Cθ.

καὶ ἄτερ πυρετοῦ, ἢν καῦμά ἐν τῇ κοιλίῃ ἐνστῇ οἷα φλέγματος ἐς αὐτὴν κατιόντος, καὶ ἢν [1] ἡ ἄνθρωπος τὴν δίψαν μὴ κατέχῃ, μηδ' ἡ κύστις μηδ' ἡ κοιλίη διηθέωσιν οὖρόν τε καὶ κόπρον κατά γε δίκην, [2] μηδὲ ἐπιτηδείῃ διαίτῃ χρέηται ἡ ἄνθρωπος. Ἢν [3] δὲ ὑδρωποειδὴς ᾖ, ἔρχεται τὰ καταμήνια πολλὰ ἐξαπίνης, ὁτὲ δὲ ὀλίγα, καὶ [4] γίνεται ὁτὲ μὲν ὡς ἀπὸ κρεῶν ὕδωρ, εἴ τις αἱματώδεα ἀποπλύνειεν, ὁτὲ δὲ ὀλίγῳ [5] ἰσχυρότερα, καὶ οὐ πήγνυται, καὶ ἆσθμά μιν λαμβάνει, πρὶν ἢ τὰ καταμήνια χωρέειν, καὶ ὀδύνη [6] ἐν τῷ σπληνὶ, καὶ μᾶλλον ἐπήν τι γλυκὺ φάγῃ, καὶ ἡ γαστὴρ ἐξαείρεται καὶ μεγάλη ἐστί· καὶ ἐπὴν πλέονα τοῦ μάθεος φάγῃ, πονέεται τὴν γαστέρα, καὶ τὴν ὀσφὺν ἀλγέει ἄλλοτε καὶ ἄλλοτε, καὶ πῦρ μιν ἐπιλαμβάνει δι' ὀλίγου. Ἐπὴν δὲ ἀποκαθαρθῇ, [7] ῥᾷον δοκέει ἔχειν πρὸς τὰ πρόσθεν, ἔπειτα ἐς τωὐτὸ καθίσταται, καὶ ἢν μελεδαίνηται ὡς χρὴ, ὑγιὴς ἔσται· [8] ἢν δὲ μὴ, ὁ ῥόος ἐπιφανεῖται, καὶ διὰ παντὸς τοῦ χρόνου αἰεὶ ῥεύσεται κατ' ὀλίγον οἷον ἰχὼρ,. ἐπιμελείης [9] δὲ πλείονος δέεται. Ἢν δὲ μὴ ὁ ῥόος ἐπιγένηται, ἀλλ' αἱ μῆτραι ὑπὸ τῶν πρόσθεν [10] παθημάτων ἀερθεῖσαι μὴ χαλάσωσι τὰ ἐπιμήνια, ἥ τε γαστήρ οἱ μεγάλη ἔσται, καὶ βρῖθος ἐνέσται ὡς τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ δοκέει ὡσεὶ παιδίον ἐν τῇ γαστρὶ αὐτῆς κινέεσθαι, ἅτε τῶν μητρέων ὕδατος πλέων ἐουσέων καὶ τοῦ ὕδατος [11] κινεομένου, ἄλλοτε γὰρ καὶ ἄλλοτε κλυδάζεται αὐτῇσι τὸ ὕδωρ ὡς ἐν ἀσκῷ· καὶ ἀλγεῖ ψαυομένη τὸ κάτω τοῦ ὀμφαλοῦ, καὶ αἱ κληῖδες καὶ ὁ θώρηξ καὶ τὸ πρόσωπον καὶ τὰ ὄμματα καταλεπτύνεται, καὶ αἱ θηλαὶ ἀείρονται. [12] Ἔστι δὲ ᾗσι μὲν ἥ τε κοιλίη καὶ τὰ σκέλεα πλήθει ὕδατος, [13] ᾗσι δὲ ἐς θάτερον τουτέων·

[1] Ὁ Ald. – διὰ θέωσιν (sic) F. – διαθέωσιν Ald. – κόπριον CFGIJθ, Ald. – κατά τε (γε θ, Cordæus, Lind.) vulg. — [2] μηδ' C. – χρέεται C. – χρῆται θ. — [3] δ' θ. – ὑδρωπιώδης θ. – ὑδροποειδὴς FIJK. – ὑδροπιοειδὴς C. – τὰ om. C. – Ante πολ. addit [ὁτὲ μὲν] Lind. – ἐξαπ. πολλὰ C. – ὀλίγιστα θ. — [4] γίνονται vulg. – γίνεται C. – ὕδωρ ὡς (ὡς om. θ) εἴ τις vulg. – ἀποπλύνειν D. — [5] παχύτερα θ. — [6] ἐν om. C. – ἐξαίρεται vulg. – ἐξαείρεται θ. – ἔσται vulg. – ἔστι Cθ. – πλείονα J. – ἔθεος θ. – πονεῖ τε (πονέεται θ) τὴν vulg. — [7] ῥήϊστον (ῥαῖον θ) δοκέῃ (δοκέει CDFHJK, Cordæus, Lind.) (addit ἔχειν θ) πρὸς vulg. – ἐς τὸ αὐτὸ (τωυτὸ θ) vulg. — [8] ἢν (εἰ Cθ) δὲ μὴ, καὶ (καὶ om. Cθ) ὁ ῥ. (ὀρθῶς pro ὁ ῥ. C) ἐπιφαίνεται (ἐπιφαίνηται J, Lind.; ἐπιφανεῖται θ) vulg. – ἀεὶ θ. – ῥεύσηται Lind. – ἐπιμελίης Cθ. — [9] δὲ θ. – δὲ om. vulg. – πλ. om. Cθ. – δεῖται θ. – ὁ Cθ. – ὁ om. vulg. — [10] παθημάτων ἀείρειται (sic) θ. – π. ἀ. om. vulg. – Je lis ἀερθεῖσαι – χαλῶσι θ. – βρῖθονος (sic) C. – ἐνείη (ἔσται C; ἐνέσται θ, Lind.) ὡς vulg. – τῇ om. Cθ. – δοκέῃ vulg. – δοκέει Cθ, Lind. –

quand, de la chaleur se développant dans le ventre par le fait du phlegme qui y descend, et la femme ne retenant pas sa soif, la vessie et le ventre n'émettent pas l'urine et les selles comme il convient, et que le régime n'est pas convenable. L'hydropisie étant formée, les règles viennent soudainement en abondance, parfois en petite quantité; tantôt elles sont comme de l'eau de chairs sanguinolentes qu'on aurait lavées, tantôt plus consistantes, et elles ne se coagulent pas. Il y a de l'oppression avant qu'elles viennent. La rate est douloureuse, surtout quand la malade a mangé quelque chose de doux. Le ventre se gonfle et devient gros; quand elle a mangé plus que d'habitude, elle y souffre. Les lombes sont douloureuses de temps en temps. La fièvre survient à de courts intervalles. Après la purgation menstruelle, elle paraît être mieux comparativement aux jours précédents; puis l'état redevient le même; et, si on la traite comme il convient, elle guérit. Sinon, l'écoulement apparaîtra, et tout le temps il s'échappera continuellement, peu à peu, un liquide ichoreux; cela exige beaucoup de soins. Si l'écoulement ne survient pas et que la matrice, distendue par les affections susdites, ne laisse pas aller les menstrues, le ventre deviendra gros, un poids se fera sentir comme chez une femme enceinte; il semblera qu'un enfant se remue dans son ventre; en effet la matrice est pleine d'eau, l'eau s'y meut, et par intervalle elle y fait un flot comme dans une outre. La femme souffre à la région sous-ombilicale quand on y touche. Les clavicules, la poitrine, le visage, les yeux maigrissent; et les mamelons se redressent. En quelques cas, le ventre et les membres inférieurs s'emplissent d'eau; en d'autres, c'est ou le ventre ou les membres inférieurs. Si le

αὐτῆς om. Cθ. – κεινεσθαι (sic) θ. – ὕδατος om. θ. – οὐσέων (ἐχουσέων D) πεπληρωμένων vulg. – πλεῖον (πλέων θ) ἐουσέων Cθ. — [11] κινουμένου vulg. – κεινεομένου θ. – κινεομένου C. – ταυ (sic) pro γὰρ θ. – κλυδάσσεται θ. – αὐτῇσι om. Cθ. – ἀλγήσει Cθ. – καταλεπτύνονται θ. – θῆλαι FIθ, Ald., Frob., Cordæus. – αἶρονται vulg. – ἀείρονται θ. — [12] εἰσὶ L., Lind. – δ' θ. – πλησθῆ θ. – τοῦ ὕδατος Cθ. — [13] εἰσὶ pro ἧσι DFGHJθ, Ald. – ἔτι pro ἧσι C. – [εἰσὶ] δὲ ἧσιν Lind. – δαι (sic) pro δ' ἐς θ. – τούτων θ.

[1]καὶ ἢν μὲν ἄμφω πλησθῇ, οὐδεμία ἐλπὶς περιγενέσθαι τὴν ἄνθρωπόν ἐστιν· ἢν δὲ θάτερον τούτων, ἐλπίδες ὀλίγαι, ἢν μελεδαίνηται καὶ μὴ λίην τετρυχωμένη ᾖ. Χρονίη δὲ αὕτη ἡ νοῦσος.

62. Γίνεται δὲ [2]πάντα μᾶλλον μὲν τῇσιν ἀτόκοισιν, γίνεται δὲ πολλάκις καὶ τῇσι τετοκυίῃσιν· ἐπικίνδυνα [3]δέ ἐστιν, ὡς εἴρηται, καὶ τοπουλὺ ὀξέα καὶ μεγάλα καὶ χαλεπὰ ξυνιέναι, διὰ τοῦθ' ὅτι αἱ γυναῖκες μετέχουσι τῶν νούσων, καὶ ἔσθ' ὅτε οὐδ' αὐταὶ ἴσασιν [4]τί νοσέουσιν, πρὶν ἢ ἔμπειροι νούσων γένωνται ἀπὸ καταμηνίων καὶ ἔωσι γεραίτεραι· τότε δὲ σφέας ἥ τε ἀνάγκη καὶ ὁ χρόνος διδάσκει τὸ αἴτιον τῶν νούσων, καὶ ἔστιν ὅτε [5]τῇσι μὴ γινωσκούσῃσιν ὑφ' ὅτευ νοσεῦσι φθάνει τὰ νοσήματα ἀνίητα γινόμενα, πρὶν ἂν διδαχθῆναι τὸν ἰητρὸν ὀρθῶς ὑπὸ τῆς νοσεούσης ὑφ' ὅτου νοσέει· καὶ γὰρ αἰδέονται φράζειν, κἢν εἰδῶσι, καί σφιν δοκέουσιν αἰσχρὸν εἶναι ὑπὸ ἀπειρίης [6]καὶ ἀνεπιστημοσύνης. Ἅμα δὲ καὶ οἱ ἰητροὶ ἁμαρτάνουσιν, οὐκ ἀτρεκέως πυνθανόμενοι τὴν πρόφασιν τῆς νούσου, ἀλλ' ὡς τὰ ἀνδρικὰ νοσήματα ἰώμενοι· καὶ πολλὰς εἶδον διεφθαρμένας ἤδη ὑπὸ τοιούτων παθημάτων. Ἀλλὰ χρὴ ἀνερωτᾷν αὐτίκα ἀτρεκέως τὸ αἴτιον· διαφέρει γὰρ [7]ἡ ἴησις πολλῷ τῶν γυναικηΐων νοσημάτων καὶ τῶν ἀνδρώων.

63. Ἢν [8]δὲ αἱ μῆτραι ἑλκωθέωσιν, αἷμα καὶ πῦα καθαίρεται, καὶ ὀσμὴ βαρέη γίνεται, καὶ ὀδύνη ὀξέη λαμβάνει ἐς τὰς ἰξύας καὶ ἐς τοὺς βουβῶνας καὶ ἐς τὴν νειαίρην γαστέρα, [9]καὶ ἄνω φοιτᾷ ἡ ὀδύνη ἐς τοὺς κενεῶνας καὶ [10]ἐς τὰς πλευρὰς [11]καὶ ἐς τὰς ὠμοπλάτας,

[1] Καὶ.... τούτων om. θ. – τὴν ἄνθρ. om. C. – ἄνθρωπον· ἔστι (εἰσὶ pro ἔστι Lind.) δὲ ἢν θάτερον vulg. – Je lis ἄνθρωπόν ἐστιν· ἢν δέ. – ἡ pro ᾖ θ. – ἡ ν. αὕτη θ. — [2] π. om. DFGHIJKL. – μὲν om. DFGHIJ. – τοῖσιν (bis) C. – πολλ. om. Cθ. – τε τοκίησιν θ. — [3] δέ (δ' θ) εἰσιν (ἔστιν θ; ἐστιν DC) vulg. – τὸ πολὺ Cθ. – συν. Jθ. — [4] ὅτι (τί θ) vulg. – νοσεῦσι C. – ἐῶσι θ. — [5] τοῖσι C. – γινώσκουσιν D. – ὑποτευ (sic) (bis) θ. – νοσεύματα C. – ἀνίατα DH. – γιγν. C. – σινόμενα pro γινόμ. DI. – ἢ pro ἂν Cθ. – νοσούσης DGIJ. – νοσεύσης C. – αἰδεῦνται C. – δοκοῦσι vulg. – δοκέουσιν θ. – δοκεῦσιν C. – ἐσχρὸν θ. — [6] καὶ om. (DH, restit. al. manu) FGIJK. – ἰτροὶ (sic) HI. – νόσου J. – ὡς ἀνδρικὰ τὰ νουσ. C. – τ' ἀνδρικὰ θ. – ὑπὸ τῶν (τῶν om. Cθ) τ. vulg. — [7] ἡ om. θ. – πολλὸν vulg. – πολλῷ C. – γυναικείων vulg. – γυναικηΐων C. – νουσ. Lind. – ἀνδρίων FIθ. – ἀνδρείων DHJK. – ἀνδρῶν L. — [8] δ' θ. – ἑλκωθῶσιν vulg. – ἑλκωθέωσιν Cθ, Lind. – πύον L, Lind. – ὀλμὴ (sic) θ. – βαρεῖα C. – βαρείη vulg. – βαρέη θ. – γίν. om., restit. al. manu D. – ὀξεῖα C. – ὀξείη vulg. – ὀξέη θ. – νιαιραν θ. – νειαιρὴν Lind. – νειέρην FGIK, Ald., Frob., Cordæus. —

ventre et les membres inférieurs s'emplissent, il n'y a aucune chance de salut pour la malade; si le ventre ou les membres, il y a quelques chances, supposé que le traitement intervienne et que la femme ne soit pas trop épuisée. Cette maladie est de longue durée.

62. (*Réflexions générales sur les maladies des femmes. Les femmes, par ignorance ou par pudeur, hésitent à en parler; les médecins les méconnaissent souvent. Les maladies des femmes diffèrent beaucoup de celles des hommes.*) Tous les accidents arrivent de préférence aux femmes qui n'ont pas eu d'enfant; pourtant ils surviennent souvent aussi chez celles qui en ont eu. Ils sont graves, comme il a été dit, et généralement aigus, intenses, et, parce que les femmes partagent les maladies [communes], difficiles à comprendre. Parfois elles ne savent pas elles-mêmes quel est leur mal, avant d'avoir l'expérience des maladies provenant des menstrues et d'être plus avancées en âge. Alors, la nécessité et le temps leur enseignent la cause de leurs maux. Souvent, chez les femmes qui ne connaissent pas la source de leurs souffrances, les maladies sont devenues incurables, avant que le médecin ait été instruit par la malade de l'origine du mal. En effet, par pudeur, elles ne parlent pas, même quand elles savent; et l'inexpérience et l'ignorance leur font regarder cela comme honteux pour elles. En outre, les médecins commettent la faute de ne pas s'informer exactement de la cause de la maladie, et de traiter comme s'il s'agissait d'une maladie masculine; et j'ai vu déjà plus d'une femme succomber ainsi à cette sorte d'affections. Il faut, dès le début, interroger soigneusement sur la cause; car les maladies des femmes et celles des hommes diffèrent beaucoup pour le traitement.

63. (*Ulcération aiguë de l'utérus.*) Si la matrice s'ulcère, du sang et du pus s'écoule; odeur forte; douleur aiguë aux lombes, aux aines, au bas-ventre. Cette douleur monte, par les flancs, aux côtés, aux omoplates; parfois elle gagne les

[9] καὶ ἐς τοὺς (sic) ὠμοπλάτας ἄνω φοιτᾷ ἡ ὀδύνη pro καὶ.... ὀδύνη C. — [10] ἐς om. θ. — [11] κ. ἐς τ. ὠ. om. C.– ἐς τὰς om. θ.– ἀφίκνεται (sic) C.– ἀφικνεῖται θ.

ἐνίοτε δὲ καὶ ἐς τὰς κληῖδας ἀφικνέεται, καὶ δάκνεται, καὶ κεφαλὴν ἀλγέει σφοδρῶς, καὶ παρανοεῖ· [1] τῷ δὲ χρόνῳ ἀνοιδίσκεται πᾶσα, καὶ ἀσθενείη μιν λαμβάνει, καὶ ἀψυχίη, καὶ πυρετὸς λεπτὸς, καὶ περίψυξις· οἰδίσκεται δὲ μάλιστα τὰ σκέλεα. Ἡ δὲ νοῦσος λαμβάνει ἐκ τρωσμοῦ, ἥτις ἂν [2] διαφθείρασα τὸ παιδίον ἐγκατασαπὲν μὴ ἐκκαθαρθῇ, καὶ τὸ στόμα πῦρ ἔχει· λαμβάνει δὲ καὶ ἐκ τῶν ῥόων, [3] καὶ ἢν ἐπὶ σφέας δριμέα ᾖ καὶ χολώδεα, δάκνει. [4] Ἢν οὕτως ἐχούσῃ ἐπιτυγχάνῃς, ἐπὴν μὲν αἱ ὀδύναι ἔχωσι, λούειν τε πολλῷ καὶ θερμῷ, καὶ χλιάσματα προστιθέναι, ὅκου ἂν ἡ ὀδύνη ἔχῃ· καὶ ἢν μὲν ἄνω [5] αἱ ὀδύναι ἔωσιν, [6] ἢν μὲν ἰσχυρὴ ἡ γυνὴ ᾖ, πυριήσασθαι ὅλην καὶ φάρμακον δοῦναι κάτω πιεῖν· καὶ ἐπὴν ὥρη ᾖ τοῦ ἔτεος, [7] ὀῤῥὸν ἀφεψῶν, διδόναι ἐπιπίνειν ἡμέρας πέντε, ἢν δυνατὴ ᾖ· ἢν δὲ μὴ [8] ᾖ ὀῤῥὸς, ὄνου γάλα ἑψεῖν, καὶ διδόναι πίνειν ἡμέρας τρεῖς ἢ τέσσαρας· μετὰ δὲ τὴν γαλακτοποσίην, ὕδατι ἀνακομίσαι αὐτὴν καὶ σιτίοισιν ἐπιτηδείοισι, κρέασι μηλείοισιν, ἁπαλοῖσι, νέοισι, καὶ ὀρνιθείοισι, καὶ τευτλίῳ, καὶ κολοκύντῃ· ἀπεχέσθω δὲ [9] τῶν ἁλμυρῶν καὶ δριμέων καὶ τῶν θαλασσίων πάντων καὶ κρεῶν χοιρείων καὶ βοείων καὶ αἰγείων· ἄρτους δὲ ἐσθιέτω· ἢν δὲ ἀψυχίαι [10] ἔχωσι καὶ μὴ ἰσχύῃ καὶ περιψύχηται, ῥόφημα λαμβάνειν. Εἰσὶ δέ [11] τινες, οἳ ταύτῃσι κεφαλὴν ἀλγεούσῃσι πιπίσκουσι γάλα, ὅτι [12] κεφαλὴν ἀλγέουσιν, οἱ δὲ ὕδωρ, ὅτι λειποθυμέουσι· τἀναντία δὲ οἴομαι· [13] εἰ κεφαλὴν ἀλγέοιεν καὶ φρενῶν εἴη ἅψις, ἁρμόσσον ὕδωρ, ὅτε δὲ δάκνεται καὶ δριμέα ἐστὶ, γάλα ταύτῃσιν εὐμενές. Ἐπὴν δέ σοι δοκέῃ ἰσχύειν, κλύζειν τὰς ὑστέρας, πρῶτα μὲν [14] τῷ ἀπὸ τῆς τρυγὸς, μετὰ δὲ ταῦτα διαλι-

[1] Τῷ χρ. δὲ C. — ἀσθενίη θ. – Ante λεπτὸς addunt καὶ FGI. – τὰ om. C. — [2] διαφθείρασα Cθ. – διαφθαρεῖσα vulg. – ἐκκαθαρθῇ JLθ, Lind. – ἐγκαθαρθῇ vulg. – καὶ τὸ σῶμα (στόμα θ) πᾶν (πᾶν om. Cθ) ἔχει vulg. — [3] κἢν ἐ. σφᾶς θ. – δρ. ἂν (ἂν om. Cθ) ᾖ (εἴη θ; ἴῃ Cordæus, Lind.) vulg. – δάκνῃ D. — [4] ἢν δὲ θ. – Pro ἐχούσῃ habent ἔχωσιν FG; ἔχουσιν DK; ἐχούσα (sic) Ald. – ὅπου θ. — [5] αἱ CLθ, Lind. – αἱ om. vulg. – ἑῶσι θ. — [6] καὶ ἰσχυρή ἐστιν ἡ γυνὴ vulg. – ἢν μὲν ἰσχυρὴ ἡ γυνὴ C (θ, addit ᾖ) – πυριάσας ὅλ. φ. δοῦναι θ. – διδόναι vulg. – πίνειν L. — [7] ὀρὸν C. – ὅρον θ. — [8] ὀῤῥὸς ᾖ J. – ουρος (sic) θ. – ὀρὸς C. – ἕψειν C. – ἀφεψεῖν θ. – τρὶς ἢ τέσσερας θ. – τέτταρας K. – ὕδατι (L, sed forte ἡδύσμασιν) θ. – ὕδασιν vulg. – μηλίοισιν C. – μὴ λίοισιν θ. – In marg. μῆλον καλέεται τὸ πρόβατον ἀπὸ τοῦ μέλλειν τὴν φρόντιδα ἔχειν· οἱ γὰρ παλαιοὶ περὶ τὴν τῶν βοσκημάτων κτῆσιν ἐσπούδαζον μάλιστα G. – ὀρνιθίοισι C. – ὀρνηθίοισι θ. – τευτλευτίῳ (sic) κ. κολοκύνθῃ C. — [9] καὶ pro τῶν C. – χοιρίων Cθ. – βοΐων θ. – αἰγίων C. – οειων (sic) pro αἰγ. θ. — [10] ἐῶσιν

clavicules; elle est mordicante; céphalalgie intense; délire. Avec le temps, la femme enfle tout entière, et elle est faible; défaillance, fièvre légère, refroidissement. Les jambes surtout sont enflées. Cette maladie survient après l'accouchement, quand la femme, avortant et se débarrassant d'un fœtus putréfié, n'a pas de purgation lochiale et que l'orifice utérin est très-chaud; elle survient aussi à la suite d'écoulements qui, devenant âcres et bilieux, corrodent. Si une telle maladie vous échoit, quand les douleurs sont actuelles, lavez avec beaucoup d'eau chaude, appliquez des fomentations chaudes sur les parties douloureuses. Les douleurs sont-elles en haut et la femme est-elle forte, fumigation générale et purgatif. La saison de l'année le permet-elle, faire bouillir du petit-lait que la femme boira pendant cinq jours, si elle peut. N'y a-t-il point de petit-lait, faire bouillir du lait d'ânesse, et le boire pendant trois ou quatre jours. Après la cure par le lait, on restaurera la femme par l'eau, par des aliments convenables, viandes de mouton tendres, jeunes, oiseaux, bette, concombre; abstinence des choses salées, âcres, de toutes les productions marines, du porc, du bœuf, de la chèvre; manger du pain. S'il y a des défaillances, si la femme n'est pas forte, si elle se refroidit, prendre des potages d'orge. Il est des gens qui, à ces femmes souffrant de la tête, prescrivent le lait à cause de la céphalalgie; et d'autres qui prescrivent l'eau à cause des lipothymies. C'est le contraire, je pense (Aph. V, 64): si la tête est douloureuse et l'intelligence prise, l'eau convient; s'il y a mordication et âcreté, le lait est favorable. Dans le cas où la femme paraît avoir de la force, faire l'injection utérine d'abord avec la préparation à la lie; puis, après une interrup-

C. — [11] τινες om. C. – τἄλλα pro γάλα C. — [12] κεφαλαλγέουσιν θ. – ἀλγοῦσιν vulg. – ἀλγεῦσιν C. – ἀλγέουσιν L, Lind. – λειποθυμοῦσι vulg. (λιπ. I). – λιποθυμέουσι θ. – λειποθυμέουσι Lind. – λειποθυμεῦσι C. – ταντια (sic) θ. – οἶμαι vulg. – οἴομαι Cθ. — [13] εἰ om. θ. – ἀλγέουσι vulg. – ἀλγέοιεν Cθ. – ἁρμόσον vulg. – ἁρμόσει θ. – ἁρμόζον Cordæus, Lind. – ἅρμοζον L. – ἅρμοσον C. – ἁρμόττον D. – ἁρμόσσον FJ. – ἁρμόσιον (sic) K. – δάκνειται θ. – δριμεία IK. – δριμεῖα C. – εὐμενὴς C. — [14] τὸ C. – διαλειπὼν (sic) θ. – τρὶς ἢ τεσσερας θ.

πὼν ἡμέρας τρεῖς ἢ τέσσαρας κλύζειν [1] τῷ ξὺν τῷ κραμβίῳ χλιερῷ, καὶ αὖθις διαλιπὼν ἡμέρας τρεῖς κλύσαι τῷ [2] ξὺν τῷ πικερίῳ· καὶ ἢν ταῦτα ποιήσαντι [3] ὑγιάζωνται αἱ ὑστέραι, κλύσαι τῷ ξὺν τῷ σιδίῳ· ἐπὶ δὲ τὰ ἕλκεα ἐπιχρίειν ἀργύρεον ἄνθος, καὶ κικίδα, καὶ σμύρναν, καὶ λιβανωτὸν, καὶ τοῦ αἰγυπτίου ἀκάνθου τὸν καρπὸν, καὶ οἰνάνθην τὴν ἀγρίην, καὶ χρυσοκόλλην, καὶ λεπίδα, καὶ λωτοῦ πρίσματα, καὶ κρόκον, [4] καὶ στυπτηρίην αἰγυπτίην κατακεκαυμένην· τούτων ἓν ἔστω ἴσον ἑκάστου, τὴν δὲ στυπτηρίην καὶ τὴν κικίδα καὶ τὸν κρόκον ποιῆσαι μίαν μοῖραν [5] πάντων· τρίψας δὲ καὶ ξυμμίξας πάντα λεῖα, διεῖναι ἐν οἴνῳ λευκῷ γλυκεῖ· ἔπειτα ἑψεῖν, ἔστ' ἂν παχὺ γένηται οἷόν περ μέλι· τούτῳ [6] δὲ ἐπαλείφειν δὶς τῆς ἡμέρης διδόναι, νιψαμένην ὕδατι χλιερῷ· ἑψεῖν [7] δὲ ἐν τῷ ὕδατι καὶ κισθὸν καὶ ἐλελίσφακον. Καὶ ἐπήν σοι δοκέῃ ταῦτα ποιέοντι ῥᾴων εἶναι, προπιεῖν γάλα ἑφθὸν αἴγειον μίην ἡμέρην, ἔπειτα διδόναι γάλα βόειον, τὸν αὐτὸν τρόπον οἷον ἐπὶ τῇσι προτέρῃσι· μετὰ δὲ τὴν γαλακτοποσίην παχῦναι σιτίοισιν ὡς μάλιστα, καὶ ποιέειν ὅκως ἐν [8] τῇ γαστρὶ ἔχῃ· ὑγιὴς γὰρ γενήσεται. Ὡς δὲ τὰ πολλὰ ἐκ τῆς νούσου ταύτης ἐκφεύγουσι, καὶ ἄτοκοι γίνονται· [9] αἱ δὲ γεραίτεραι οὐ πάνυ τι. Πίνειν δὲ μετὰ τὰ φάρμακα λίνου σπέρμα ἀποπεφωσμένον, καὶ σήσαμον, καὶ [10] κνίδης καρπὸν, καὶ γλυκυσίδης ῥίζαν τὴν πικρὴν τρίβων ἐν οἴνῳ εὐώδει μέλανι κεκρημένῳ.

64. [11] Ἢν αἱ μῆτραι ἑλκωθέωσι, καὶ αἷμα καὶ πῦον ῥέει καὶ ἰχώρ· σηπομένων γὰρ τῶν μητρέων, νόσημα ἀπ' αὐτέων γίνεται, καὶ ἡ γαστὴρ ἡ [12] νειαίρη ἐπαείρεται, καὶ λεπτὴ γίνεται, καὶ ἀλγέει ψαυο-

[1] Τὸ C. – ξὺν C, Lind. – σὺν vulg. – χλιηρῷ vulg. – χλιερῶ θ. – αὖτις θ. – διαλειπὼν (sic) θ. – τρὶς θ. – Post τρεῖς addit ἢ τεσσαρας D. — [2] σὺν vulg. – ξὺν C, Lind. – πικαιρίω C. — [3] ὑγιάζονται Cθ. – σὺν DHθ. – ἀργύριον D. – κηκίδα (bis) Cθ. – κάνθου (D, al. manu ἀκάνθου) IK, Ald. – κανθοῦ C. – χρυσοκολλαν (sic) θ. – πρίσμα θ. — [4] καὶ.... κρόκον om. (D, restit. al. manu) FGHIJK. – ἓν om. θ. – μοίραν FHIJ. – μοίρην D. — [5] πάντα (D, emend. al. manu) FGHIJK. – συμμ. Jθ. – λία θ. – λίαν ἰέναι C. – γλ. om. L. – ἕψειν C. – παχὺν C. — [6] δὲ om. CD (F, restit. al. manu) HIJKθ. – ἐπάλιφε δὶς τῆς ἡ. διανιψαμένην θ. – νιψωμένην G. – χλιαρῷ vulg. – χλιηρῶ DH. – χλιερῶ K. – ἕψειν C. — [7] δ'ἐν θ. – κισσὸν DFGJ, Lind. – κιστὸν C. – ποιεῦντι C. – ῥᾷον vulg. – ῥαίων C. – ῥάων θ. – πρ. χρὴ γάλα θ. – αἴγιον C. – διδόναι δὲ καὶ pro ἔπ. διδόναι θ. – βόϊον θ. – οἷόνπερ θ. – γαλακτοπωτίην θ. – σιτοῖσιν (sic) θ. – ὅπως θ. — [8] τῇ om. θ. – ἔχει C. – γένηται vulg. – γενήσεται Lθ, Cordæus, Lind.

tion de trois ou quatre jours, avec la préparation à l'eau de chou, tiède; de rechef, après une interruption de trois jours, avec la préparation au beurre; et si, durant ces opérations, la matrice guérit, avec la préparation à l'écorce de grenade. Sur les ulcérations on fera des onctions avec fleur d'argent (*oxyde de plomb*), noix de galle, myrrhe, encens, fruit de l'épine d'Égypte (*mimosa nilotica*, L.), fleur de vigne sauvage, chrysocolle, écaille de cuivre, sciure de lotus, safran, alun d'Égypte calciné; de chaque partie égale, sauf l'alun, la noix de galle et le safran, qui formeront la moitié du tout; pilez fin, mêlez, mouillez avec du vin blanc doux; faites cuire jusqu'à consistance de miel. Donnez, de cette préparation, de quoi s'oindre deux fois par jour; la femme se sera lavée avec de l'eau tiède où du lierre et de la sauge auront bouilli. Quand, par ces moyens, la femme paraît être mieux, lui faire boire préalablement, pendant un jour, du lait bouilli de chèvre; puis donner du lait de vache, de la même façon que dans les cas précédents. Après la cure par le lait, donner autant d'embonpoint que possible par l'alimentation, et faire en sorte que la femme devienne enceinte; car elle guérira. En général, les malades réchappent, mais deviennent stériles. Les femmes qui sont d'un certain âge ont moins de chances de réchapper. Après les évacuants, prenez graine de lin grillée, sésame, graine d'ortie, racine amère de pivoine, pilez dans du vin noir, de bonne odeur, coupé d'eau, et faites boire.

64. (*Autre cas de l'ulcération aiguë de l'utérus.*) Si la matrice est ulcérée, du sang, du pus et de l'ichor s'en écoulent; car, la matrice se corrompant, il en provient une maladie; le bas-ventre se tuméfie, devient mince, et, au toucher, est dou-

— [9] τῇσι δὲ γεραιτέρῃσιν vulg. – αἱ δὲ γερέτεραι (sic) θ. – τοι pro τι L, Lind. – δὲ μετ' αὐτὰ (μετὰ τὰ θ) φ. vulg. – λινούσπερμα πεφωγμένον θ. — [10] κνήδης IK. – κνιδέης (sic) C. – οἰνώδει θ. — [11] ἦν δ' αἱ θ. – ἑλκωθῶσι θ. – πῦος θ. – ῥέοι vulg. – ῥαίη θ. – ῥέῃ D. – Je lis ῥέει. – νούσ. Lind. – ἐπ' αὐτῶν C. — [12] νιαιρα θ. – νειαιρῇ Lind. – νειαίρα D. – νειέρῃ FGIK, Ald., Frob., Cordæus. – ἐπαίρεται vulg. – ἐπαείρεται θ. – ὀξείη vulg. – ὀξέη θ. – περχνὴ (sic) θ. – ἔσται pro ἕς τε θ. – ἐπίσιον DGJθ, Ald. – ἐπισίον FHIK. – ἐπίσχιον C.

μένη, ὡς ἕλκος, καὶ πῦρ ἔχει καὶ βρυγμὸς αὐτὴν, καὶ ὀδύνη ὀξέη καὶ σπερχνὴ ἔς τε τὰ αἰδοῖα καὶ ἐς τὸ ἐπίσειον καὶ ἐς τὴν γαστέρα [1] τὴν νειαίρην καὶ ἐς τὸν κενεῶνα καὶ ἐς τὰς ἰξύας· ἡ δὲ νοῦσος λαμβάνει μάλιστα μὲν ἐκ τόκου, [2] ἢν αὐτῇσί τι διακναισθὲν ἐνσαπῇ, καὶ ἐκ τρωσμοῦ, καὶ ἄλλως ἀπὸ ταυτομάτου. Ταύτῃσιν ἢν ἐπιτυγχάνῃς, λούειν ἐν ὕδατι πολλῷ καὶ θερμῷ, καὶ ὅκου ἂν ἡ ὀδύνη [3] ἔχῃ, τὰ χλιάσματα προστιθέναι καὶ σπόγγον ἐξ ὕδατος θερμοῦ, [4] καὶ κλύζειν, τὰ δριμέα καὶ τὰ στρυφνὰ ἀπεχομένην· τῶν δὲ μαλακωτέρων διάμισγε ὅκως ἂν δοκέῃ σοι καιρὸς εἶναι· τοῦ τε λίνου τὸν καρπὸν κόψας καὶ τῆς ἀκτῆς, ξυμμίξας δὲ ἐν μέλιτι καὶ ποιήσας φάρμακον, τούτῳ χρῶ· [5] λοῦσον δὲ ὕδατι θερμῷ, καὶ λαβὼν σπόγγον ἢ εἴριον μαλθακὸν βάπτων ἐς θερμὸν ὕδωρ διακάθαιρε τά τε αἰδοῖα καὶ τὰ ἕλκεα· [6] εἶτα ἐς οἶνον ἄκρητον ἐμβάπτων πάλιν τὸν σπόγγον ἢ τὸ εἴριον τὸν αὐτὸν τρόπον χρῶ· ἔπειτα τῷ φαρμάκῳ τούτῳ ἐνάλειφε, ὁσάκις ἂν δοκέῃ σοι καιρὸς εἶναι· ἔπειτα [7] ῥητίνην καὶ στέαρ ὕειον μίξας ὁμοῦ τῷ φαρμάκῳ, διαλείφειν τῷ δακτύλῳ πολλάκις μεθ' ἡμέρην καὶ τῆς νυκτός· μετὰ δὲ ταῦτα λίνου σπέρμα φώξας [8] καὶ κόψας καὶ σήσας, μήκωνα λευκὴν [9] κόψαι ἐν ἀλφίτοισι καὶ σῆσαι, καὶ τυρὸν αἴγειον ὀπτᾷν περιξύσας τὸ ῥῦπος καὶ τὴν ἅλμην, καὶ τὸ [10] πικέριον ξυμμίξαι καὶ πάλην ἀλφίτου, εἶτα ἓν τοῦ φαρμάκου μέτρον καὶ τοῦ τυροῦ καὶ [11] τοῦ ἀλφίτου ποιῆσαι, καὶ τοῦτο διδόναι πίνειν ἐξ ἠοῦς νήστει ἐν οἴνῳ αὐστηρῷ κεκρημένῳ· ἐς δὲ τὴν ἑσπέρην μίσγων καὶ παχὺν κυκεῶνα διδόναι, καὶ [12] τῶν γυναικείων ὅ τι ἂν μάλιστα προσδέχηται πιπίσκειν. Καὶ μέχρι μὲν ἂν τὸ αἷμα πουλὺ

[1] Καὶ ἐς pro τὴν C. – νειαιρᾶν (sic) θ. – νειαιρὴν Lind. – νειέρην FGIK. Ald., Frob., Cordæus. — [2] ἣν ἐν (ἐν om. θ) αὐτῇσι (αὐτῇ θ) vulg. – διακνησθὲν vulg. – διακναισθὲν Cθ. – διακνισθὲν Lind. – Erot. p. 128 : διακναισθὲν, διαφθαρέν. – σαπῇ vulg. – ἐνσαπῇ Cθ. – ἢ καὶ ἐκ θ. – ταύτης DFGIKθ. – δὲ ἢν Cθ. – θερ. καὶ πολλῷ θ. – ὅπου θ. — [3] λαμβάνῃ Cθ. – τοιαῦτα (τοι. om. θ) τὰ χλ. vulg. – σπόγγιον θ. – θερμοῦ om. θ. — [4] καὶ om. FGHIJ. – μαλθακωτέρων C. – διάσμιγε H. – ὅπως θ. – ἂν θ. – ἂν om. vulg. – δοκέει DHI. – δὲ pro τε θ. – συμμίξας vulg. – ξύμμιξον C. – σύμμιξον θ. – ἐν om. Cθ. – ποίησον C. – πότισον θ. – τούτῳ χρῶ om. θ. — [5] Ante λ. addit ἔπειτα θ. – δὲ om. Cθ. – σπ. λαβὼν Cθ. — [6] εἶτα.... χρῶ om. J. – τῶ αὐτῶ τρόπω H. – χρῶ om. C. – ἐπάλειφε θ. – ὁποσάκις θ. – ὁκοσάκις C. – ἢν pro ἂν C. — [7] ῥιτ. FGI. – ὕιον C. – τῶ δακτύλω Cθ. – τῷ δ. om. vulg. – τῆς om. K. – ταῦτα om. θ. – λινουσπερμα θ. — [8] κ. κ. om. D. – μήκωνα.... περιξύσας om. (DH, restit. al. manu) GIJK. — [9] κόψας vulg. – κόψαι θ. – ἐν.... περιξύσας om. F. – καὶ αἴγειον

loureux comme une plaie. Fièvre, grincement de dents; douleur aiguë et continuelle aux parties génitales, au pubis, au bas-ventre, aux flancs, aux lombes. La maladie survient surtout à la suite de l'accouchement, quand quelque chose de déchiré se pourrit dans la matrice; elle survient encore à la suite de l'avortement et même spontanément. Si une telle malade vous échoit, laver avec beaucoup d'eau chaude, et, là où siége la douleur, appliquer les fomentations, une éponge trempée dans l'eau chaude et exprimée; faire des injections, où il n'y aura rien d'âcre et d'astringent, mais où l'on mêlera, entre les substances émollientes, celles qui paraîtront convenir. Prenez de la graine de lin et de sureau, broyez, mêlez dans du miel, et faites-en un médicament dont vous vous servirez de la sorte : Lavez à l'eau chaude, et, prenant une éponge ou de la laine molle que vous tremperez dans l'eau chaude, nettoyez les parties génitales et les ulcérations, puis, trempant l'éponge ou la laine dans du vin pur, servez-vous-en de même; alors faites des onctions avec le médicament susdit, autant de fois que vous le jugerez utile. Après cela, incorporer, dans ce médicament, de la résine et de la graisse de porc, et, avec le doigt, en faire des onctions plusieurs fois le jour et la nuit. Puis, grillez de la graine de lin, pilez et tamisez, pilez du pavot blanc dans de la farine d'orge et tamisez, faites griller du fromage de chèvre dont vous aurez ôté l'ordure et la saumure, mêlez du beurre et de la fine farine d'orge, prenez partie égale du médicament, du fromage et de la farine, et donnez à boire de grand matin, à jeun, dans du vin astringent coupé; le soir, mêlant un cycéon épais, le donner; et, parmi les potions destinées aux femmes, administrer celles qui vont

ὀπτᾶν τυρὸν D. – ῥυποεν (sic) θ. — [10] πικρὸν vulg. – πιηρὸν Coray, Mus. Oxon. Consp. p. 19. – πικέριον θ. – συμμίξας (ξ. CDFHIK) vulg. – συμμίξαι θ. – πάλιν DFGIJKθ, Ald., Frob., Cordæus. – ἄλφιτον K. – εἶτα.... ἀλφίτου om. (DH. restit. al. manu) FGIJ. — [11] ἀλφίτων sine τοῦ θ. – ποιῆσαι καὶ θ. – ποιῆσαι καὶ om. vulg. – ἠοῦς K. – νῆστι ἐπ' θ. — [12] τὸ γυναικεῖον vulg. – τῶν γυναικείων Cθ, Lind. – πολὺ vulg. – πουλὺ CDH. – ῥαίη θ. – ὀξέαι θ. – ὀξεῖαι vulg. – ἔχωσι.... ὀδύναι om. C. – διαλίπωσι vulg. – διαλείπωσι θ. – τοιαῦτα θ.

ῥέῃ, καὶ ὀδύναι ὀξέαι ἔχωσι καὶ ὀλίγον χρόνον διαλείπωσι, ταῦτα ποιέειν· ἐπὴν δὲ τὸ ἕλκος [1] ἔλασσον ᾖ, καὶ ὀδύναι βληχραὶ προσλαμβάνωσι [2] καὶ διὰ πλέονος χρόνου, φάρμακα πιπίσκειν, ὑφ' ὧν μέλλλει καθαίρεσθαι κάτω μᾶλλον ἢ ἄνω, διαλείπων χρόνον ὁκόσον ἂν δοκέῃ καιρὸς εἶναι· καὶ πυριῇν [3] βληχρῇσι πυρίησιν, ἀνακαθίζοντα ὑψόθι, ἣν δοκέῃ ἑκάστοτε καιρὸς εἶναι. Ταῦτα ποιέουσα ὑγιὴς γίνεται· ἡ δὲ νοῦσος βληχροτέρη καὶ θανατώδης, [4] καὶ διαφεύγουσιν αὐτὴν παῦραι.

65. Ἢν [5] δὲ ἑλκωθέωσι σφοδρῶς, αἷμα καὶ πῦον καθαίρεται, καὶ ὀδμὴ γίνεται βαρέη, καὶ ὁκόταν ἡ ὀδύνη προσλάβῃ, ὡς ὑπὸ ὠδῖνος τὸ πλῆθος τὰ περὶ τὸν ῥόον γίνεται, καὶ [6] ὁκόταν ὁ χρόνος ᾖ, τὰ σκέλεα καὶ οἱ πόδες οἰδέουσι, καὶ ἰῶνται οἱ ἰητροὶ ὡς ὕδρωπα· τὸ δὲ οὐ τοῖον. Ταύτην ἢν λάβῃς, [7] λούειν πρῶτα θερμῷ, καὶ χλιαίνειν, καὶ κλύζειν δριμέσι καὶ μαλθακοῖσι καὶ στρυφνοῖσιν, ὕδατί τε καὶ οἴνῳ· καὶ πουλύκαρπον καὶ πουλύκνημον καὶ μέλι ἑψῶν ὁμοῦ, εἶτα εἴριον ἐς τοῦτο βάπτων, διαχρίειν τὰ αἰδοῖα, καὶ [8] ῥητίνην καὶ μέλι καὶ συὸς ἔλαιον ἐγχρίειν· καὶ πιπίσκειν λίνου καρπὸν, καὶ σήσαμον φώξας καὶ βούτυρον καὶ τυρὸν αἴγειον καὶ ἄλφιτον ἐφ' ἅπασι πιπίσκειν ἐν οἴνῳ νῆστιν, [9] ἐς ἑσπέρην δὲ μέλι ἐπιχέων πουλύ· καὶ ἕως μὲν ἂν τὸ αἷμα καθαίρηται, καὶ ὀδύναι ὀξέαι ἔχωσι, καὶ ὀλίγον διαλείπωσι, τοῦτο ποιέειν· ὅταν δέ [10] οἱ ἔλασσον ἴῃ καὶ ὀδύναι βληχρότεραι ἴσχωσι διὰ πλέονος χρόνου, φάρμακον πιπίσκειν κάτω, καὶ διαλείπειν. Ταῦτα ποιέουσα, ὑγιὴς γίνεται· γενεὴ δὲ οὐκ ἔτι.

[1] Ἐλάσσων θ. – Post ᾖ addit ἄνω θ. – λαμβάνωσι Cθ. — [2] Ante καὶ addit κάτω θ. – πλείονος CJ. – διαλείπειν vulg. – διαλιπὼν C. – διαλείπων θ. – ὁπόσον θ. – ἐπίκαιρος (καιρὸς, D al. manu ἐπίκ., FGIJKθ) vulg. — [3] βληχροῖσι FGHI. – πυριῆσι G. – ἀνακαθίζοντι ὑψωθείην δοκέῃ θ. – ὑψῶθι G. – ἑκάστοθι vulg. – ἑκάστοτε θ. — [4] καὶ om. θ. – καὶ ὀλίγαι δ. αὐ. J. – ὀλίγαι αὐτὴν DFG (H, in marg. παῦραι) IK. – ὀλίγαι Q'. — [5] δὲ om. θ. – ἑλκωθῶσι vulg. – ἑλκωθέωσι Cθ. – γίν. om. C. – βαρεῖα vulg. – βαρεία I. – βαρείη DJ. – βαρέη θ. – ὁπόταν θ. – Ante ἡ addit ὁ χρόνος Ald. – προσβάλῃ C. – τὸ πλῆθος θ. – τὸ πλ. om. vulg. — [6] ὅταν θ. – ἢ pro ᾖ C. – οἰδεῦσι C. – ἰῶν. τοῦτο (τοῦτο om. Cθ) οἱ vulg. – ὕδροπα FIK. – οὐχ ἔστι τοιοῦτον vulg. – οὐ τοῖον Cθ. — [7] λούῃν F. – πρ. om. Cθ. – πολύκαρπον καὶ πολύκν. vulg. – πουλύκαρπον καὶ πουλύκν. C. – Gal. Gl. : πολύκαρπον, τὸ κραταιόγονον ὀνομαζόμενον. – ἑψεῖν K. – εἰρίων C. – εἰς vulg. – ἐς Jθ. — [8] ῥιτ. FGI. – λίνου.... πιπίσκειν om. C. – σίσαμον G. – αἴγιον F. – ἐν (ἐφ' θ) ἅπασι vulg. – νῆστιν om. K. — [9] ἐς Cθ. – ἐφ'

le mieux. Voilà ce qu'il faut faire, tant que le sang coule abondamment et qu'il y a des douleurs aiguës avec de courtes intermissions. Mais, quand l'ulcération diminue, que les douleurs s'adoucissent et ont de plus longues intermissions, administrer les médicaments qui évacuent par le bas plutôt que par le haut, mettant des intervalles aussi longs que le cas paraîtra l'exiger. Administrer aussi des fumigations douces, faisant asseoir haut la malade, si à chaque fois cela paraît opportun. On guérit par ces moyens. Cette maladie est plus lente, dangereuse, et peu en réchappent.

65. (*Autre cas de l'ulcération aiguë de l'utérus.*) Si la matrice est fortement ulcérée, du sang et du pus s'écoulent, une odeur désagréable s'exhale, et, quand la douleur saisit, l'écoulement cause d'ordinaire une souffrance de même caractère que celle de l'accouchement. Avec le temps, les jambes et les pieds enflent; et les médecins croient traiter une hydropisie; mais ce n'en est pas une. Si vous prenez une telle malade, laver d'abord avec l'eau chaude, fomenter, faire des injections âcres, émollientes, astringentes, avec l'eau et le vin. Prenez polycarpon (*polygonum persicaria*, L.), polycnémon (*ziziphora capitata*, L.) et miel, faites cuire ensemble; puis, y trempant de la laine, oindre les parties génitales; oindre aussi avec la résine, le miel et l'axonge. Breuvage : prenez graine de lin et sésame, grillez, ajoutez beurre, fromage de chèvre et farine d'orge, et donnez à jeun dans du vin; le soir, on y versera beaucoup de miel. Voilà ce qu'il faut faire tant que du sang est rendu, que les douleurs sont aiguës et n'ont que de courtes intermissions. Mais, quand l'écoulement est moindre et que les douleurs, moins intenses, ont de plus longues intermissions, administrer un purgatif, et mettre un intervalle. Par ces moyens, la femme guérit; mais elle n'engendre plus.

vulg. – μέλιτι vulg. – Je lis μέλι. – πολὺ θ. – ὀξεῖαι vulg. – ὀξέαι θ. – ὀλίγον χρόνον (χρ. om. θ) vulg. – διαλείπωσι DIKθ. – διαλίπωσι vulg. — [10] σοι CDFGHIJKθ. – ἢ θ. – βληχρώτεραι K. – πλείονος vulg. – πλέονος θ. – διαλιπεῖν vulg. – διαλείπειν θ. – ποιεῦσα C. – γίγνεται C. – ἐνεῖ (sic) C.

66. Ὅσα[1] δὲ ἑλκώματα γίνεται ἐν τῇσιν ὑστέρῃσιν ἀπὸ τρωσμοῦ ἢ ὑπ' ἄλλου τινὸς, ταῦτα χρὴ ἀποσκεπτόμενον εἰς τὸ οὖλον σῶμα θεραπεύειν πάντα, [2]ὁκοίης ἂν δοκέῃ δέεσθαι θεραπείης, ἤν τέ σοι δοκέῃ ἐξ ἅπαντος τοῦ σώματος ἡ ἄνθρωπος θεραπευτέη εἶναι, ἤν τε ἀπ' αὐτέων. Γνώσῃ δὲ εἰ ἀπ' αὐτέων τῶν ὑστερέων ἐστὶν [3]ὧδε· τὰ μὲν ἀπ' αὐτέων τῶν ἑλκωμάτων τὴν κάθαρσιν παρέχει πυοειδέα τε καὶ ξυνεστηκυίην, τὰ δὲ μὴ ἀπ' [4] αὐτέων λεπτήν τε καὶ ἰχωροειδέα. Ὅσα μὲν οὖν ἐστι λεπτὰ τῶν ῥευμάτων, ταύτας μὲν χρὴ [5] θεραπεύειν ἐν φαρμάκῳ, καὶ διδόναι καὶ ἄνω καὶ κάτω, πρῶτον δὲ ἄνω· καὶ ἢν μὲν [6] μετὰ τὴν φαρμακείην τὰ ῥεύματα ἐλάσσω γίνηται καὶ εὐπετέστερα [7] ᾖ, διαλείποντα αὖθις φαρμακεύειν τὸν αὐτὸν τρόπον· μετὰ δὲ τὴν φαρμακείην διαιτῆν διαίτῃ τοιαύτῃ, ἐν ὁποίῃ ἂν εἴη μάλιστα ξηροτάτη ἡ ἄνθρωπος· ἔσται [8] δὲ, ἢν αὐτὴν πυριῇς δι' ἡμέρης τρίτης ἢ τετάρτης ὅλον τὸ σῶμα, καὶ ἐμέτους ποιέῃς ἐκ τῶν [9] πυριέων εὐθύς· μετὰ δὲ τοὺς ἐμέτους καὶ τὰς πυρίας διαιτῆν ἀλουσίῃσί τε καὶ ὀλιγοποσίῃσι [10] καὶ ἀρτοσιτίῃσιν· ποτῷ δὲ μηδενὶ, ἀλλ' ἢ οἴνῳ ἀκρήτῳ μέλανι, λαχάνῳ δὲ μηδενί· ὅταν [11] δὲ τὸν ἔμετον παρασκευάζῃς, τότε χρὴ λαχάνων πολλῶν καὶ δριμέων ἐμπιπλάναι καὶ σιτίων πολλῶν καὶ ὄψου ὁκοίου [12] ἂν βούλωνται, καὶ οἴνου πολλοῦ ἐμπιπλάναι ὑδαρέος, καὶ λούειν ἐκ τῶν πυριῶν πολλῷ θερμῷ. Αὕτη μὲν [13] ἡ θεραπείη τῶν τοιουτοτρόπων ῥευμάτων· ἄμεινον δὲ ἄμφω φαρμακεύειν, καὶ ἐμέειν καὶ ἄνω ἕλκειν· δίαιτα δὲ ξηραντικὴ κρέσσων [14] καὶ ἀλουσίη. Τὰς δὲ ὑστέρας χρὴ θεραπεύειν ὧδε· πρῶτα

[1] Δ' θ. – ἑλκύσματα LQ', Vatic. Codd. ap. Foes, Ald. – γίνονται C. – ὑπ' om. C. – ἀλλωτοῦ (sic) C. – ἄλλου του θ. – Ante χρὴ addunt δὲ Cθ. – ὅλον vulg. – οὖλον C. — [2] ὁποίης DFGHIKθ. – ὁκόσ' ἂν C. – δεῖσθαι θ. – θεραπευταίη Cθ. – ἤν τε ἀπ' αὐτέων εἴη τῶν ὑστερέων θ. — [3] ὧδε θ. – ὧδε om. vulg. – αὐτῶν vulg. – αὐτέων θ. – ἑλκεωμάτων (sic) C. – πυωειδέα J. – ποιοείδεα (sic) θ. – ξυνεστηκύην C. – ξυνεστηκυῖαν θ. — [4] αὐτῶν C. – ἰχωρώδεα C. — [5] φαρμακεύειν πρῶτον pro θεραπεύειν.... διδόναι Cθ. – Post διδόναι addunt πρῶτον DFGHIJK. — [6] κατὰ C. – γίνεται vulg. – γίγνεται C. – γίνηται DFHKθ. — [7] ἢ vulg. – ᾖ Cθ. – διαλιπόντα C. – δὲ om. C. – διαιτᾷν vulg. – διαιτῆν C. – ὁποία C. – εἴη om. GJ, Ald. – ξηροτέρη θ. – ξηρότητος, al. manu ξηροτάτη D. – ξηρότητι K. – ἡ om. θ. — [8] δ' C. – πυριαις (sic) θ. — [9] πυριῶν vulg. – πυριέων C. – διαιταν (sic) θ. – ἀλουσίη C. – ὑδροποσίῃσι vulg. – ὀλιγοποσίη C. – ὀλιγοποσίῃσι Hθ. — [10] καὶ om. C. – ὀψῷ δὲ vulg. – Je lis ποτῷ. – δὲ om. θ. — [11] δὲ θ. – δὲ om. vulg. – Post τότε addit δὲ θ. – χρείην (χρείαν DFGHJK) ἔχῃς (ἔχεις DFHIJK, Cordæus) vulg. – χρὴ Cθ. – ἐμπιπλᾶναι I. –

66. (*Distinction entre les ulcérations utérines qui proviennent de l'utérus même, et celles qui proviennent de l'état général du corps.*) Toutes les ulcérations qui se forment dans la matrice à la suite de l'avortement ou par toute autre cause, doivent être traitées en ayant l'œil sur le corps entier, suivant la cure qui est nécessaire, soit que vous jugiez nécessaire de vous occuper de tout le corps, soit de l'utérus seulement. Voici comment vous connaîtrez que le mal provient du seul utérus : les ulcérations naissant de l'utérus fournissent un écoulement purulent et consistant; celles qui n'en naissent pas, un écoulement ténu et ichoreux. Ceux donc des écoulements qui sont ténus doivent être traités à l'aide des évacuants et par haut et par bas, et d'abord par haut. Si, après l'évacuation, l'écoulement devient moindre et plus doux, mettre un intervalle et évacuer de nouveau de la même façon. Après l'évacuation, prescrire le régime par lequel la malade sera le plus sèche; or, elle le sera, si vous prescrivez une fumigation générale tous les trois ou quatre jours, et le vomissement immédiatement après la fumigation. Après les vomissements et les fumigations, mettre dans le régime l'abstinence des bains, peu boire, et l'usage du pain; point d'autre boisson que du vin noir pur; aucun herbage. Quand vous préparez le vomissement, alors il faut gorger d'herbages âcres, d'aliments de céréales copieux et de tous les plats qui seront au gré de la malade; la remplir de beaucoup de vin aqueux, et laver, après les fumigations, avec beaucoup d'eau chaude. Tel est le traitement d'écoulements de ce genre. Ce qui importe, c'est d'évacuer par les deux voies, et de faire vomir et d'attirer par le haut; ce qui importe encore, c'est un régime desséchant et l'abstinence de bains. Quant à la matrice, il faut traiter ainsi : d'abord fu-

ἐμπιπλᾶναι (bis) θ. – ὁποίου θ. — [12] ἦν C. – ἐμπιπλᾶναι GI. – ὑδαρέως C. – πυρίων (sic) Ald. — [13] ἡ om. vulg. – J'ai ajouté ἡ sans mss. – τούτων pro τῶν C. – ἄμεινον.... ἀλουσίῃ om. θ. – κρείσσων FHJK. — [14] καὶ om. CFHIJK, Ald. – δ' Cθ. – πρῶτον DIJθ. – πυριᾷν vulg. – πυριῆν CH. – πυριὴν I. – ἀφέψοντα Hθ. – εἰλύος θ. – σμίγματι θ, Ald. – σμήματι (bis) C.

μὲν πυριῇν ὕδατι ἀκτῆς ἀφεψῶντα τὰ φύλλα· ἔπειτα μετὰ τὴν πυρίην κλύζειν ἐκ τῆς ἰλύος τῷ σμήγματι· [1] ἢν μὲν σηπεδὼν ἐν τοῖς ἕλκεσιν ᾖ καὶ τὰ ἀπιόντα δυσώδεα, ἀκρητεστέρῳ τῷ σμήγματι· ἢν δὲ μηδὲν [2] ᾖ τοιοῦτον, ὑδαρεστέρῳ· μετὰ δὲ τὴν ἰλὺν, ὕδατι· ἐν δὲ τῷ ὕδατι [3] ἐναφεψεῖν μυρσίνην καὶ δάφνην καὶ ἐλελίσφακον· μετὰ δὲ τοῦτο οἴνῳ κλύζειν ἀκρήτῳ λευκῷ χλιαρῷ. Ὁκόταν δὲ δάκνηται ἤδη ὑπὸ τῶν κλυσμάτων, τότε ἤδη καθαρά ἐστι τὰ ἕλκεα· κλύζειν οὖν χρὴ ὑδαρεστέρῃ τῇ [4] ἰλύϊ καὶ οἴνῳ μέλανι· μετὰ δὲ τὸν οἶνον πιμελὴν ὑὸς τήξαντα νεηρὴν, ἔλαιον παραμίξαντα, [5] ἢν μὲν ᾖ, χηνὸς, [6] ἢν δὲ μὴ, ἄλλου του, μάλιστα ὄρνιθος, [7] εἰ δὲ μὴ, τὸ ἐκ τῶν ἐλαιῶν παλαιὸν, τούτῳ χλιαρῷ κλύζειν, μετὰ δὲ τῷ οἴνῳ ἐς ἕτερον κλυστῆρα ἐγχέαντα· ἐς δὲ τὸ στόμα, κἢν ᾖ εἱλκωμένον, κἢν μὴ, μοτοὺς [8] ποιεῦντα τῶν μαλθακτηρίων προστιθέναι, καὶ [9] ἢν καῦμα παρέχωσι προσκείμενοι, ἀφελομένην τὴν γυναῖκα κελεύειν νίψασθαι ὕδατι χλιαρῷ τοιούτῳ οἵῳ περ ἐκλύζετο. Ἢν δὲ πρὸς [10] τὴν δίαιταν τήνδε τὰ ῥεύματα μὴ ἀπαλλάσσηται, ἐλάσσω [11] δὲ γίνηται καὶ δάκνηται σφοδρῶς, καὶ τὰ ἀποῤῥέοντα χολή τε εἴη καὶ ἅλμη, καὶ μὴ μόνον τὰ ἔνδον, ἀλλὰ καὶ τὰ ἔξω [12] ἑλκοῖ, μεταβάλλειν χρὴ τὴν δίαιταν, καὶ ἐξυγραίνειν πᾶσαν, ὅκως τὰ ῥεύματα ὡς ὑδαρέστατα ἔσται καὶ ἥκιστα δηκτικὰ, λουτροῖσι [13] θερμοῖσι πουλλοῖσι, μάζῃ, λαχάνοισιν ἑφθοῖσι πᾶσι λιπαροῖσιν, ἰχθύσι τοῖσι σελάχεσι, [14] σὺν κρομύοισι καὶ κορίοισιν ἕψοντα ἐν ἅλμῃ γλυκείῃ, ἑψεῖν δὲ λιπαρῶς, κρέασιν ἑφθοῖσι πᾶσι, πλὴν βοὸς [15] καὶ αἰγὸς, διέφθοισιν ἐν ἀνήθοισι καὶ μαράθροισιν, οἴνῳ

[1] Ἐὰν θ. – δὲ μηδὲν pro μὲν J. – ᾖ om. θ. – ἀκρατ. J. – σμίγματι G, Ald. — [2] ᾖ θ. – ᾖ om. vulg. – τοιούτω C. — [3] ἐναφέρειν C. – καὶ δάφνην θ. – καὶ δ. om. vulg. – χλιηρῷ CD. – τὰ ἕλκεα ἔστι θ. — [4] ἰλύη H. – καὶ om. DFGHIJK. – πιμενὴν (sic) C. – πειμελὴν θ. – νεαρὰν θ. — [5] ἐὰν θ. — [6] ἢν.... ὄρνιθος om. θ. – ἀλλ' οὔτου (sic) K. – τοῦ FGI. — [7] ἢν J. – ἐλαίων HI. – ἐλάων (sic) C. – χλιηρῷ C. – τὸν οἶνον vulg. – τῷ οἴνῳ θ. – ἐγχέαντα (ἐγχέαντι C; ἐγχέοντα D) ἐς (εἰς J) τὸ στόμα, καὶ ἢν μὴ (μὴ om. Cordæus; ᾖ pro μὴ Foes in not., Lind.) ἑλκώμενα (ἑλκούμενα Cordæus; ἑλκούμενον Foes in not.; ἡλκωμένα Lind.), μοτοὺς vulg. – ἐγχέαντα· ἐς δὲ τὸ στόμα κἢν ᾖ εἱλκωμένον, κἢν μὴ μοτοὺς θ. — [8] ποιοῦντας vulg. – ποιεῦντας C. – ποιοῦντα Cordæus, Lind. – μαλακτ. C. — [9] ἐὰν θ. – τὴν γ. om. Cθ. – κελεύειν αὐτῇ (αὐ. om. Cθ) νίψ. vulg. – χλιηρῷ C. – ὥπερ C. — [10] τὴν om. C. – τὴν δὲ F, Ald. – τήνδε om. Cθ. — [11] δὴ pro δὲ DHK. – γένηται vulg. – γίνεται DFGHK. – γίνηται Jθ, Ald. – διάκνηται (sic) θ. – δύνεται (sic) K. – δάκνεται D. – σφόδρα θ. – ἀπορέοντα

migations avec l'eau de feuilles de sureau bouillies; puis, après la fumigation, injection avec la lie de l'onguent à frotter; si la pourriture est dans les ulcérations et que l'écoulement soit fétide, l'onguent sera moins mélangé d'eau; s'il n'y a rien de tel, il le sera davantage; après la lie, l'injection se fera avec l'eau; dans l'eau, on aura fait bouillir du myrte, du laurier et de la sauge; après cela, injection avec du vin blanc pur, tiède. Quand les injections commencent à faire éprouver une sensation mordicante, c'est que les ulcérations se mondifient, il faut donc faire les injections avec la lie plus coupée d'eau et le vin noir. Après le vin, faire fondre de la graisse fraîche de porc, ajouter de la graisse d'oie, si on en a, sinon, toute autre graisse de volaille, sinon encore, de la vieille huile, et injecter tiède. Après cela, faire une autre injection avec du vin. Quant à l'orifice utérin, qu'il soit ulcéré ou non, appliquer des tentes émollientes; si cette application cause de la chaleur, la femme les ôtera et se nettoiera avec l'eau tiède qui lui servait aux injections. Si, par ce régime, l'écoulement ne cesse pas, mais devient moins copieux et irrite fortement, et que la matière en soit de la bile et de la saumure, ulcérant les parties non-seulement intérieures, mais encore extérieures, il faut changer le régime et humecter le corps entier, de manière que l'écoulement soit aussi aqueux et aussi peu irritant que possible : beaucoup de bains chauds, polenta, herbages bouillis tous au gras, poissons cartilagineux cuits avec des poireaux et de la coriandre dans de la saumure douce et de la graisse, toutes viandes bouillies, excepté le bœuf et la chèvre, très-cuites, dans de l'aneth et du fenouil,

K. — [12] ἑλκέοι (sic) C. – ἐξυγράνειν (sic) FH. – Ante πᾶσαν addit δὲ θ. – ὅπως θ. – ὑδαρέστερα DFI. – ὑδάρεστα (sic) G. – εἶναι pro ἔσται K. — [13] πολλοῖσι θερ. J. – πουλλοῖσι G, Ald., Frob. – πολλ. vulg. – πᾶσι om. J. – ἰχθῦσι Kθ. – τοῖς ἐλάχεσιν (sic) C. — [14] ἐν (σὺν θ) κρομύ. (κρομμύ. DJKθ, Frob.) vulg. – σκορόδοισι pro κορίοισι θ. – ἑψόντα (sic) HIθ. – ἑψῶντα K. – γλ., ἑψ. δὲ λιπ. om. θ. – ἑψεῖν om. C. – λιπαρὰ C. — [15] καὶ αἰγὸς (καὶ αἰ. om. θ), τούτοισι γὰρ. (τ. γὰρ om. Cθ) διέφθοισιν (διεφθ. om. θ) vulg. – ἀννήθοισι FI. – ἀνίθοισι CHJ. – μαράθοισιν CFGHIJKθ, Ald.

[1] μελιχρόῳ, κιῤῥῷ, ὑδαρεῖ, πλέονι, γαλακτοποσίῃ μετ' οἴνου γλυκέος· τὰ δ' ἄλλα περὶ τῶν κλυσμάτων ποιέειν κατὰ τὸν ὑφηγημένον λόγον. Αὕτη μὲν νῦν τῶν τοιούτων ἡ θεραπείη. Ὅσα [2] δὲ πυοειδέα τε καὶ ξυνεστεῶτα ἄπεισι, τούτων τὸ μὲν οὖλον σῶμα οὐδὲν δεῖ κινέειν, [3] κλύζειν δὲ καὶ ἀπὸ τούτων τὴν θεραπείην πᾶσαν ποιέεσθαι, κλύζειν δὲ τοῖσιν αὐτέοισι κλύσμασιν οἷσι πρόσθεν εἴρηται τὸν αὐτὸν τρόπον. Γεγράψεται δὲ καὶ ἄλλα κλύσματα. [4] Ἑλκέων ἴησις· ἐλάφου στέαρ χλωρὸν προσθετόν· κλύζειν δὲ χρὴ αὐτίκα οἴνῳ σιραίῳ, κράτιστον δὲ ψιμυθίῳ, ἢν ἕλκεα ᾖ, καὶ ἐλαίῳ ναρκισσίνῳ· σιτίοισι δὲ μαλθακωτάτοισι χρῆσθαι καὶ μὴ δριμέσιν. Ἢν [5] δὲ ῥερυπωμένα ᾖ καὶ νέμηται, [6] καὶ τὸν πελαστάτω χῶρον διακναίῃ, [7] καθαίρειν, καὶ νέην σάρκα φύειν, καὶ ἐς ὠτειλὰς ἄγειν τὴν σάρκα, ῥηϊδίως γὰρ ἀναχαλᾶται καὶ [8] κακοήθεα οὐ γίνεται, καὶ λούειν συχνῶς.

67. Ἢν [9] δὲ γυνὴ ἐκ τρωσμοῦ τρῶμα λάβῃ μέγα, ἢ [10] προσθέτοισι δριμέσιν ἑλκωθῇ τὰς μήτρας, οἷα πολλὰ γυναῖκες ἀεὶ δρῶσί τε καὶ ἰητρεύουσι, καὶ τὸ ἔμβρυον φθαρῇ, καὶ μὴ καθαίρηται ἡ γυνὴ, ἀλλά οἱ αἱ μῆτραι φλεγμήνωσιν ἰσχυρῶς καὶ μεμύκωσι καὶ τὴν κάθαρσιν [11] μὴ οἷαί τε ἔωσι παραμεθιέναι, εἰ μὴ τὸ πρῶτον ἅμα τῷ ἐμβρύῳ, αὕτη ἢν μὲν ἰητρεύηται ἐν τάχει, ὑγιὴς ἔσται, ἄφορος δέ. Ἢν δέ οἱ ῥαγῇ αὐτόματα [12] τὰ λοχεῖα καὶ τὰ ἕλκεα ὑγιανθῇ, καὶ ὧδε ἄφορος ἔσται. Ἢν δέ οἱ ἡ μὲν κάθαρσις γένηται, τὰ δὲ ἕλκεα μὴ μελε-

[1] Μέλανι χρῷ θ. – ὑδαρρεῖ H. – πλείονι vulg. – πλέονι θ. – γαλακτοπωσίῃ θ. – κλυσμῶν θ. – ποιέειν om. θ. – οὖν pro νῦν K. – περὶ (π. om. θ) τῶν τοιούτων (τοιῶνδε θ) vulg. – ἡ om. C. – θεραπεία C. — [2] δὲ om. C. – ποιοειδέα K. – ξυνεστῶτα C (θ, συν.). – ὅλον vulg. – οὖλον C. – οὐ pro οὐδὲν J. — [3] κλύσειν Ald. – κλύζειν.... ποιέεσθαι om. (D, restit. al. manu) FGHIJK. – αὐτοῖσι θ. – κλυσμοῖσι C. – οἷς vulg. – οἷσι C. — [4] ἑλκῶν vulg. – ἑλκέων Cθ. – πρόσθετον Cθ. – σειραίω IJK. – Erot., p. 280 : οἴνῳ σιραίῳ, τῷ ἑψήματι λεγομένῳ. – Post σ. addit πάντα C. – ψιμιθίω FGIK, Ald., Frob., Cordæus, Lind. – ψιμμιθίω DHJ. – ψιμιθύω C. – ἐλαίων K. – ναρκισίνω C. – χρήσθω θ. – μὴ om. θ. — [5] δὲ om. C. – νενέμηνται vulg. – νενέμηται C, Lind. – νέμηται θ. — [6] καὶ om. J. – πελασσάτω vulg. – πελαστάτω C (D, al. manu πελασσάτω) FGHIKθ, Ald., Lind. – Ante δ. addunt καὶ DIJK. – δαχναίη vulg. – δαχνέη J, Cordæus. – διακναίῃ C (H, al. manu) θ, Foes in not., Lind. — [7] Post καθ. addit δὲ C. – νέαν vulg. – νέην Cθ. – φῦναι vulg. – φύειν θ. – ὠτίλας (sic) θ. – γὰρ om. C. – Gal. Gl. : ἀναχαίνεται, ἀναξαίνεται, et ἀναχελύνεται, ἀναξηραίνεται. Foes pense que ces gloses se rapportent à notre passage. — [8] κακειθεα (sic) θ. – κακήθεα CIK. – κακοηθείη J. – οὐ θ. – οὐ om. vulg. – συχνῶς om. Cθ. — [9] δὲ om. – τραῦμα vulg. – τρῶμα θ. – λαμβάνῃ vulg. – λαβῃ CDHIKθ.

vin couleur de miel, paillet, aqueux, en abondance, usage habituel du lait avec du vin doux. Pour les injections, on fera comme il a été dit tout à l'heure. Tel est le traitement de ces écoulements. Quant aux écoulements purulents et consistants, il faut, pour ceux-là, n'agir aucunement sur le corps tout entier, mais prescrire des injections et faire reposer sur ce moyen tout le traitement; les injections seront les mêmes et employées de la même façon que plus haut. D'autres injections seront aussi indiquées. Traitement des ulcérations : graisse récente de cerf, en pessaire. On fera aussitôt les injections avec le vin cuit. Ce qu'il y a de plus énergique, s'il y a des ulcérations, c'est de faire des injections avec la céruse et avec l'huile de narcisse. La malade usera d'aliments très-doux; rien d'âcre. Si les ulcérations sont sordides, s'étendent et corrodent la région voisine, les mondifier et produire une chair nouvelle qu'on amènera à cicatrice; elles cèdent en effet facilement et ne deviennent pas malignes; baigner souvent.

67. (*Différents cas d'ulcérations utérines. Stérilité qui en résulte.*) Quand la femme est affectée d'une grande plaie à la suite de l'avortement, ou quand la matrice a été ulcérée par des pessaires âcres, ce qui arrive, vu tant de pratiques et de traitements que les femmes font de leur chef, ou quand, le fœtus étant chassé par l'avortement et la femme n'ayant pas la purgation lochiale, la matrice s'enflamme fortement, se ferme et ne peut donner issue à la purgation, si ce n'est à ce qui sort tout d'abord avec l'enfant, la malade, si elle est traitée promptement, guérira, mais restera stérile. Si les lochies font éruption spontanément et que les ulcérations se cicatrisent, elle restera stérile de cette façon encore. Mais si, la purgation marchant, les ulcérations ne sont pas traitées, il

– μέγα θ. – μέγα om. vulg. — [10] πρόσθε τοῖσι δρ. θ. – ἑλκώσῃ θ. – πολλαὶ K. – πολλὰ om. Cθ. – ἀεὶ om. Cθ. – αἰεὶ Lind. – ἰατρεύουσι FHIJK, Ald. – ἰητρεύονται Cθ. – μεμυκῶσι CGIθ, Ald., Frob. – μεμυκόσι DH. — [11] οὐχ (οὐκ Frob., Cordæus; μὴ Cθ) vulg. – ὦσι vulg. – ἐῶσι θ. – παραμ. ponunt ante τὴν κάθ. Cθ. – πρῶτον αἷμα (ἅμα θ) τὸ ἐν (τὸ ἐν om. Cθ) τῷ vulg. – γίνεται pro ἔσται C. — [12] τὰ om. C. – λοχεία θ. – λόχια D. – λοχία CJ.

δαίνηται, κίνδυνος σηπεδονώδεα εἶναι. [1]Ἢν δέ οἱ [2]ἡ κάθαρσις ἴῃ τετρυχωμένη, θνήσκει. [3]Κἢν ἐν τῷ τόκῳ κάρτα ἑλκωθέωσιν αἱ μῆτραι τοῦ ἐμβρύου μὴ κατὰ φύσιν ἰόντος, πείσονται τὰ αὐτὰ [4]τῇ ἐκ διαφθορῆς ἑλκωθείσῃ τὰς μήτρας, καὶ μεταλλαγὰς καὶ τελευτὰς τὰς αὐτὰς ἡ νοῦσος ἴσχει, ἤν [5]τε ἐκ διαφθορῆς [6]ἤν τε ἐκ τόκου αἱ μῆτραι ἑλκωθῶσι, καὶ εἰ τὰ λοχεῖα πάντα παρήϊσαν, ἧσσον πονήσει, [7]εἰ μὴ μεγάλα ἕλκεα εἴη, καὶ μελεδαινομένη ἐν τάχει ὑγιαίνει. Χρὴ δὲ τῇ μελέτῃ προσέχειν ἐν τάχει, ἢν ἕλκεα ἐν τῇ μήτρῃ ἐνῇ· ἅτε γὰρ ἐόντα ἐν [8]ἁπαλῷ αὔξεται, καὶ σαπρὰ ταχὺ γίνεται. Ἰῆσθαι δὲ τὰ ἕλκεα, ὡς καὶ τὰ ἐν τῷ ἄλλῳ σώματι; [9]καὶ ἀφλέγμαντα χρὴ ποιέειν καὶ ἀνακαθαίρειν καὶ ἀναπιμπλάναι καὶ ἐς ὠτειλὰς ἄγειν· διδόναι δὲ ὕδωρ, οἶνον δὲ μή, σιτία ἀφαυρότερα, πολλὰ δὲ μή.

68. [10]Ὁκόσα δὲ τρωσμῶν γινομένων μὴ ἀπαλλάσσεσθαι δύναται μεζόνων ὅλων τε [11]ἢ τῶν μελέων τῶν ἐμβρύων ἐόντων, ἢ ἐλασσόνων [12]καὶ πλαγίων καὶ ἀδυνάτων, τὰ τοιαῦτα ἢν μὲν κατὰ φύσιν [13]ἴῃ, διδόναι τῶν φαρμάκων τι ὧν ἐγὼ φράσω, προλούοντα θερμῷ παμπόλλῳ· [14]κἢν ἐθέλοντα προϊέναι μὴ εὐλύτως ἀπίῃ κατὰ φύσιν ἐόντα, τῇσι τοιαύτῃσι τοῦ πταρμικοῦ προσφέρειν, ἐπιλαμβάνειν δὲ τὸν μυκτῆρα καὶ πτάρνυσθαι, καὶ [15]τὸ στόμα πιέζειν, ὅκως ὁ πταρμὸς ὅτι μάλιστα ἐνεργήσει. Χρῆσθαι δὲ καὶ σεισμοῖσι· σείοις δ' ἂν ὧδε· κλίνην λαβεῖν ὑψηλὴν ῥωμαλέην [16]καὶ ὑποστορέσαντα ἀνακλίνειν τὴν γυναῖκα

[1] Ἢν.... εἶναι om. G. — [2] ἡ C. - ἡ om. vulg. - εἴη θ. - τετρυμένη (sic) C. - τετριχωμένη J. — [3] καὶ ἢν θ. - ἢν C. - μὲν pro ἐν θ. - τῷ om. Cθ. - ἑλκ. (ἑλκωθῶσιν θ) καὶ (καὶ om. Cθ, Cordæus, Lind.) αἱ vulg. - ἐόντος vulg. - ἰόντος θ. — [4] τητεκ (sic) θ. - ἑλκωθεισην (sic) θ. - ἑλκεωθείσῃ (sic) CDFIJK, Ald., Cordæus. - μεταλλ. τὰς αὐτὰς καὶ τελ. θ. — [5] δ' pro τε θ. - διαφορῆς C. — [6] ἢ pro ἤν τε θ. - ἑλκεωθῶσιν C. - εἰ om. C (D, restit. al. manu) FGHJK, Ald. - λόχια D. - λοχία J. - παριεῖσαν DFGIJK. - παρίησαν CH. - παρίωσιν θ. - παριῆσαν vulg. - εἴσω pro ἧσσον K. - πονήσῃ vulg. - πονήσει CDHJK. — [7] εἰ Cθ. - ἢν vulg. - δὲ τὴν μελεδὴν (τῇ μελέτῃ θ) πρ. vulg. - ἐν ἧι θ. - ἔνι vulg. - ἔνιά τε pro ἐνῇ· ἅτε FHIJK, Ald. — [8] ἁπ. ταχὺ (τ. om. Cθ) αὔξ. vulg. - Ante σαπρὰ addit τὰ θ. - ἴᾶσθαι θ. - τῶ θ. - τῷ om. vulg. — [9] καὶ θ. - καὶ om. vulg. - ἀφθέγμαντα (sic) FI. - Post ἀφλ. addit [γὰρ] Lind. - ἀναπιμπλᾶναι θ. - ἐσωτίλας (sic) θ. - ὕδωρ εἰς πόσιν (εἰς π. om. Cθ), οἶνον vulg. - σιτία.... μὴ om. (D, restit. al. manu σιτία παῦρα) FGIJK. - Post σ. addit τε H. - παῦρα vulg. - ἀφαυρότερα θ. - πολλὰ δὲ μὴ om. HL. — [10] ὅσα θ. - δὲ om. θ. - μὴ δύν. ἀπαλλ. θ. - μειζόνων vulg. - μεζόνων DFGHIJK, Ald., Frob. — [11] ἡ θ. — [12] ἢ πλαγείων τε καὶ θ. — [13] εἴη vulg. - ἴῃ H. - ῆ C. - τι ἀφ' ὧν DFGHIJLQ', Lind. - Post ὧν addit ἂν θ. - γράψω Cθ. - προλούσαντα

est à craindre qu'elles deviennent putrides. Si la purgation vient au moment où la femme est épuisée, la mort en est la suite. Dans le cas où une ulcération considérable est produite dans l'accouchement par l'enfant qui ne sort pas régulièrement, les accidents seront les mêmes que dans l'ulcération suite d'un avortement. La maladie aura les mêmes changements et les mêmes terminaisons, soit qu'elle provienne d'un avortement ou d'un accouchement. Si toutes les lochies coulent, l'affection sera moins grave, pourvu que les ulcérations ne soient pas grandes, et, traitée, elle guérit promptement. Il faut ne pas perdre de temps pour recourir au traitement quand il y a des ulcérations à la matrice; car, étant dans un lieu mou, elles augmentent et deviennent vite putrides. Ces ulcérations seront traitées comme celles du reste du corps : en ôter l'inflammation, les mondifier, les remplir et les mener à cicatrisation. Donner de l'eau, point de vin, des aliments peu nutritifs et non en grande quantité.

68. (*Délivrance ne pouvant se faire sans un avortement. Emploi des sternutatoires, de la succussion. Précautions accessoires.*) Quand, dans un avortement, la délivrance ne peut pas se faire, soit que le fœtus soit tout entier trop gros, ou ait quelque partie trop grosse, soit que, n'étant pas trop gros, il vienne obliquement et soit sans force, en ce cas, si les choses sont selon l'ordre naturel, laver avec beaucoup d'eau chaude et donner les médicaments que j'indiquerai; et si, disposé à sortir, le fœtus, tout en étant dans la position naturelle, ne sort pas avec facilité, administrer un sternutatoire, et, pendant l'éternument, pincer les narines et fermer la bouche, afin que l'éternument agisse autant que possible. On emploiera aussi la succussion; voici comment : prendre un lit élevé et solide, le garnir, coucher la femme sur le dos, disposer autour de la poitrine, des aisselles et des bras

θ. – προλούοντες DQ'. – παμπόλω K. — [14] καὶ ἦν Lθ, Lind. – θέλοντα θ. – ἀλύτως C. – ἰόντα θ. — [15] τὸ θ. – τὸ om. vulg. – ὅπως θ. – ὁ πτ. ponunt post μάλιστα Cθ. – ὡς (ὡς om. Cθ) ὅτι vulg. – ἐνεργήσῃ vulg. – ἐνεργὸς ᾖ θ. – ἐνεργήσει DFH. – σείεις J. – σίοις θ. – ὑψ. τε καὶ ῥωμ. θ. – ῥωμαλαίην C. — [16] καὶ om. Cθ. – ὑποστορεύσαντα GI. – δὲ (δ' θ) ἀνακλίνειν C (θ, ἀνακλῖναι).

ὑπτίην, τὰ [1] δὲ στήθεα καὶ τὰς μασχάλας καὶ τὰς χεῖρας προσκαταλαμβάνειν ταινίῃ ἢ ἱμάντι πλατεῖ μαλθακῷ πρὸς τὴν κλίνην καὶ ζωννύειν, καὶ τὰ σκέλεα ξυγκάμψαι καὶ κατέχειν τοῖν σφυροῖν· ὅταν δὲ [2] εὐτρεπίσῃς, φρυγάνων φάκελον μαλθακῶν ἤ τι τῷδε ἐοικὸς εὐτρεπίζειν ὅσον τὴν κλίνην οὐ περιόψεται ἐπὶ [3] τὴν γῆν ῥιπτευμένην, ὥστε ψαῦσαι τοῖσι πρὸς κεφαλὴν ποσὶ τῆς γῆς· καὶ κελεύειν αὐτὴν λαβέσθαι τῇσι χερσὶ [4] τῆς κλίνης, καὶ μετέωρον πρὸς κεφαλὴν τὴν κλίνην ἔχειν, ὡς κατάῤῥοπος ᾖ ἐπὶ πόδας, φυλασσόμενος [5] ὅκως μὴ προπετὴς ἔσται ἡ ἄνθρωπος· ὅταν δὲ ταῦτα ἐνεργῆται καὶ μετάρσιος [6] ᾖ ἡ κλίνη, ἐκ τῶν ὄπισθεν ὑποθεῖναι τὰ φρύγανα, κατορθοῦσθαι δὲ ὡς μάλιστα, ὅκως οἱ πόδες μὴ ψαύσουσι τῆς γῆς, ῥιπτεομένης τῆς κλίνης, καὶ τῶν φρυγάνων ἔσωθεν ἔσονται, αἴρειν [7] δὲ ἐξ ἑκατέρου τοῦ ποδὸς ἄνδρα τῇδε καὶ τῇδε, ὡς κατ᾽ ἰθὺ πεσεῖται ἡ κλίνη ὁμαλῶς καὶ ἴσως καὶ μὴ σπασμὸς ᾖ· [8] σείειν δὲ ἅμα τῇ ὠδῖνι μάλιστα· καὶ ἢν μὲν ἀπαλλάσσηται, αὐτίκα πεπαῦσθαι, εἰ δὲ μὴ, διαλαβόντα σείειν, καὶ αἰωρέειν ἐπὶ τῆς κλίνης φερομένην. Ταῦτα μὲν οὖν οὕτω ποιέεται, ἢν ὀρθά τε καὶ κατὰ φύσιν ἀπαλλάσσηται. Χρὴ δὲ [9] κηρωτῇ ὑγρῇ προχρίειν, ἐπὶ πάντων δὲ τῶν ἀμφὶ τὴν ὑστέρην τοιῶνδε παθέων ἄριστον τόδε, καὶ μαλάχης ὕδωρ καταιονᾷν, καὶ βουκέρας, ἢ πτισάνης πυρίνης μᾶλλον χυλός· χρὴ δὲ ἄχρι [10] βουβῶνος ἕδρην καὶ αἰδοῖον πυριῆν, καὶ ἐνίζεσθαι δὲ, ὅταν αἱ ὠδῖνες σφόδρα ὀχλέωσι μάλιστα, καὶ μηδὲν ἐν νόῳ ἕτερον ἔχειν. Τὴν δὲ ἰητρεύουσαν τὰ στόματα [11] μαλθακῶς ἐξανοίγειν, καὶ ἠρέμα τοῦτο δρᾷν, ὀμφαλὸν δὲ [12] ξυνεφέλκεσθαι τῷ ἐμβρύῳ.

[1] Δέ γε (γε om. Cθ) vulg. – προκαταλαμβάνειν vulg. – προσκαταλαμβ. DFHIKL, Lind. – προσκαταλαβεῖν θ. – μαλθ. om. θ. – ζώνην C (D, al. manu ζωννύειν) FHIJKLθ. – ξυγκάψαι CFG. – συνκάμψαι θ. – ἐκ τῶν σφυρῶν θ. – — [2] εὐτρεπίσῃ θ. – φάκελλον DFGHIJK, Ald., Frob., Cordæus, Lind. – In marg. φάκελος χωρὶς σ τὸ φορτίον καὶ τὸ ξύλον· διὰ δὲ τοῦ σ σφάκελος ὁ μικρὸς τῆς χειρὸς δάκτυλος καὶ ἡ φλεγμονὴ ἢ φθορὰ, νέκρωσις, κάκωσις F. – μαλθακὸν K. – πτωδὲ (sic) pro τι τῷδε θ. — [3] τὴν om. D. – ῥιπτευμένην C. – ῥιπτουμένην vulg. – ψαύσαι I. – κεφαλῇ J. — [4] τὴν κλίνην vulg. – τῆς κλίνης Jθ. – κεφαλῆς θ. — [5] ὅπως θ. – ἢ pro ἡ θ. — [6] ᾖ om. C. – ὑποθῆναι K. – ὅκως (ὅπ. θ) δὲ (δὲ om. θ) οἱ πόδες μὴ (μὴ om. θ, Foes in not., Lind.) ψαύωσι (ψαύσωσι C; ψαύσῃ θ) vulg. – Je lis ψαύσουσι. – τῆς γῆς, ῥ. om. C. – ῥιπτουμένης vulg. – ῥιπτεομένης θ. – ἐξώσονται pro ἔσωθεν ἔσ. θ. – ἔσωνται C. — [7] δ' θ. – τοῦ om. θ. – κατευθὺ C. – ἡ (ἡ om. θ) κλ. πεσεῖται Cθ. – πεσῆται vulg. – πεσεῖται DFHIJK. — [8] σίειν θ. – ὠδίνῃ θ. – αὖτι καὶ (sic) pro αὐτίκα

une écharpe ou un lien large et souple qui la fixe au lit ; faire plier les jambes et les attacher aux talons. Quand vous préparez la manœuvre, disposez un fagot de branchages souples ou quelque chose de semblable qui ne permettra pas au lit lancé contre terre de toucher le sol par les pieds du côté de la tête. Recommander à la femme de prendre le lit avec les mains ; tenir le lit élevé du côté de la tête, afin qu'il y ait impulsion du côté des pieds, prenant garde que la femme ne fasse pas de chute. Quand cela est arrangé et que le lit est porté en haut, mettre les branchages sous les pieds de derrière, et dresser autant que possible afin que les pieds ne touchent pas le sol, le lit étant lancé, et soient en dedans des branchages. Chaque pied sera saisi de çà et de là par un homme, de manière que le lit tombe perpendiculairement avec régularité et égalité et qu'il n'y ait pas de déchirement. On fera la succussion au moment de chaque douleur surtout. Si la femme se délivre, il faut cesser aussitôt ; sinon, pratiquer la succussion par intervalles, et la balancer portée dans son lit. Voilà ce que l'on fait quand le fœtus sort droit et dans la position naturelle. Il faut préalablement oindre avec du cérat humide ; dans toutes les affections utérines de ce genre, c'est ce qu'il y a de mieux, ainsi que de fomenter avec l'eau de mauve et de fenugrec et surtout avec la décoction de froment ; il faut fomenter le siége et les parties génitales jusqu'aux aines, mettre dans un bain de siége, surtout quand les douleurs d'accouchement sont pressantes, et n'avoir rien autre dans l'esprit. La sage-femme ouvrira doucement l'orifice utérin, ce qu'elle fera avec précaution, et elle tirera le cordon ombilical en même temps que l'enfant.

θ. – διαλαμβάνοντα σίειν θ. – αἰωρεῖν C. – τῆς K. – τῆς om. vulg. – οὕτως (οὕτω J) ποιέεσθαι vulg. – οὕτω ποιέεται Cθ. — [9] κήρῳ τῇ ὑγρῇ C. – Ante τῶν addit τῶνδε θ. – τοιῶν δὲ παθημάτων θ. – τοῦτο pro τόδε Cθ. – καταιονεῖν D. – βούκερως (sic), al manu ας D. – ἢ om. DFGHIJK. – πτισσ. DH. – πυρ. πτ. J. – πυρρίνης GHIK. – χυλοῦ K. – χυλὸν L, Cordæus, Lind. — [10] βουβώνων Cθ. – τε καὶ θ. – αἰδοίων C. – πυριᾶν θ. – ἐνέζεσθαι C. – σφοδραὶ καὶ ὄχλοις (sic) ὦσι θ. – ἔχειν ἔτ. C. — [11] μαλθακοῖσιν vulg. – μαλθακῶς θ. – ἠρέμα I. — [12] σ. θ. – τὸ (τὸν K) ἔμβρυον vulg. – Je lis τῷ ἐμβρύῳ.

69. Ὅσα δὲ δίπτυχα [1] πτύσσεται καὶ ἔγκειται ἐν τῷ στόματι τῶν ὑστερέων, ταῦτα δὲ, ἤν τε ζώοντα ἤν τε τεθνεῶτα [2] ᾖ, προώσαντα ὀπίσω πάλιν στρέφειν, ὅκως κατὰ φύσιν [3] ἴῃ ἐπὶ κεφαλήν. Ὅταν δὲ ἀπωθέειν βούλῃ ἢ στρέφειν, [4] ἀνακλίναντα χρὴ ὑπτίην ὑπὸ τὰ ἰσχία ὑποστορέσαι τι μαλθακὸν, καὶ ὑπὸ τοὺς πόδας τῆς κλίνης, ὅκως ὑψηλότεροι [5] ἔσονται οἱ πρὸς ποδῶν πόδες συχνῷ, ὑποτιθέναι χρή τι· καὶ ἀνωτέρω δὲ τὰ ἰσχία τῆς κεφαλῆς [6] ἔστω, προσκεφάλαιον δὲ μηδὲν ὑπέστω τῇ κεφαλῇ· προμηθεομένοισι δὲ ταῦτα· ὅταν [7] δὲ ἀπώσηται τὸ ἔμβρυον καὶ περιδινῆται τῇδε καὶ τῇδε, κατὰ φύσιν καθίστασθαι καὶ τὴν κλίνην καὶ τὰ ἰσχία, ὑπεξελὼν τὰ ὑπὸ τοὺς πόδας τῆς κλίνης καὶ τοὺς λίθους καὶ [8] τὸ ὑπὸ τῶν ἰσχίων· [9] πρὸς κεφαλὴν δὲ ὑποθεῖναι ὑποκεφάλαιον· τὰ τοιαῦτα τούτῳ τῷ τρόπῳ θεραπεύειν. Ὅσα δὲ ζῶντα τῶν ἐμβρύων τὴν χεῖρα ἢ τὸ σκέλος ἔξω [10] προβάλλεται ἢ καὶ ἄμφω, ταῦτα χρὴ, ὅταν τάχιστα [11] προσημήνῃ, εἴσω ἀπωθέειν τῷ προειρημένῳ τρόπῳ, καὶ στρέφειν ἐπὶ κεφαλὴν, καὶ ἐς ὁδὸν ἄγειν. Καὶ ὅσα [12] πτύσσεται τῶν ἐμβρύων πεπτηότα ἢ ἐς τὸν κενεῶνα ἢ ἐς ἰσχίον ἐν τῷ τόκῳ, χρὴ ταῦτα ἀπορθοῦσθαι, καὶ [13] στρέφειν, καὶ προσκαθίννυσθαι ἐς ὕδωρ θερμὸν, ἄχρις ἂν ἰαίνηται.

70. [14] Ὁκόσα δὲ τεθνεῶτα τῶν ἐμβρύων ἢ τὸ σκέλος ἢ τὴν χεῖρα ἔξω ἔχει, ταῦτα ἄριστον μὲν, ἢν οἷόν τε, [15] ἀπώσαντα ἔσω ἐπὶ κεφαλὴν στρέφειν· [16] ἢν δὲ μὴ οἷόν τε ᾖ, ἀνοιδίσκηται δὲ, τάμνειν τῷδε τῷ τρόπῳ· σχίσαντα τὴν κεφαλὴν μαχαιρίῳ [17] ξυμφλάσαι, ἵνα μὴ θράσσῃ, τῷ πιέστρῳ, καὶ τὰ ὀστέα [18] ἕλκειν ὀστεολόγῳ, καὶ τῷ

[1] Πτύσεται CH. — [2] εἴη θ. – ἢ C. – ᾖ om. K. – ὅπως θ. — [3] εἴη Cθ. – βούλει HK. — [4] ἀνακλίνειν θ. – ὑποστοραισαι (sic) θ. – ὑποστορεῦσαι HIJK. — [5] ἔσωνται C. – οἱ om. FGHIK. – τι om. Cθ. — [6] ἐς τὸ C. – προμηθεόμενος (προμηθεόμενοι DFIJK) ταῦτα vulg. – προμηθεύμενοι εἰσὶ ταῦτα C. – προμηθεομένοισι δὲ ταῦτα θ. — [7] δ' ἀναπώσηται C. – δ' ἀπώτῃ (sic) θ. – περιδείνηται θ. – καὶ τοὺς λ. om. θ. — [8] τὰ θ. – ἀπὸ C. — [9] προσκεφάλαιον δὲ ὑπ. ὑπὸ κεφαλὴν K. – κεφαλῆς Cθ. – προσκεφάλαιον θ. – ὑποκεφάλαια J. – ὑπὸ κεφαλὴν pro ὑποκεφ. D. – τῷ τοιούτῳ τρόπῳ θ. — [10] προτίνει (sic) θ. – προπίπτει C. – καὶ om. θ. — [11] προσημαίνῃ (προσημήνῃ CK; προσημείνῃ θ) τὴν ἔξοδον (τὴν ἔξ. om. Cθ) vulg. – ἀποθέειν F. – προηγημένῳ C. — [12] πτύσεται FI, Ald. – πτήσεται G. – πεπτηῶτα DHIJθ. – τῷ om. CK. — [13] τρέφειν C. – προσκαθίγνυσθαι vulg. – προσκαθίννυσθαι Hθ. – προσκαθιννῦσθαι C. – ἄχρι οὗ ἰένηται θ. – ἂν om. C. — [14] ὅσα θ. – δὲ om. C. – τεθνηῶτα C. – ἢν ἢ οἴεται (sic) θ. — [15] ἀπώσασθαι εἴσω καὶ ἄμφω ταῦτα ἐπὶ vulg. – ἀπώσαντα εἴσω ἄμφω ταῦτα ἐπὶ C. – ἀπώσαντα ἔξω ἐπὶ θ. — [16] ἢν J. – εἰ vulg. – οἴονται θ. –

69. (*Règles pour corriger une mauvaise présentation ou faire la version.*) Les fœtus qui se plient en deux et qui s'arrêtent à l'orifice utérin (qu'ils soient vivants ou morts), doivent être repoussés en arrière et retournés de manière à sortir naturellement par la tête. Quand on veut repousser ou faire la version, il faut faire coucher la femme sur le dos, mettre quelque chose de mou sous les hanches et quelque chose sous les pieds du lit, de manière que ceux du côté des pieds soient beaucoup plus élevés. Les hanches seront plus hautes que la tête. Il n'y aura sous la tête aucun oreiller. Tels sont les préparatifs à faire. Quand l'enfant est repoussé et retourné de côté et d'autre, on remettra en position ordinaire le lit et les hanches, ôtant ce qui est sous les pieds du lit, les pierres, et ce qui est sous les hanches. Alors on remettra un oreiller sous la tête. Voilà comment il faut traiter ces cas. Quant aux enfants qui, vivants, avancent au dehors le bras ou la jambe ou tous les deux, il faut, dès que la chose est manifeste, repousser ces parties de la façon susdite, faire la version par la tête, et les mettre en voie de sortie. Pour ceux qui, s'étant courbés, se plient au flanc ou à la hanche dans l'accouchement, il faut les redresser, faire la version et mettre dans un bain de siége d'eau chaude, jusqu'à ce que les parties soient assouplies.

70. (*En cas de mort de l'enfant, dont un bras ou une jambe sort, repousser les parties ; sinon, briser la tête, les côtes et réséquer. Précautions à prendre.*) Pour les enfants morts qui ont une jambe ou un bras dehors, le mieux est, si l'on peut, de repousser et faire la version ; si la chose est impossible et que le gonflement survienne, opérer ainsi qu'il suit : fendre la tête avec un bistouri, l'écraser avec le compresseur, afin qu'elle

ἢ pro ᾗ θ. – ᾗ om. C. – ἀνοιδίσκεται CGHK, Ald. — [17] ξυφλάσαι FIJ. – θραύσῃ vulg. – θράσσῃ θ. – Gal. Gl. : πιέστρῳ, τῷ ἐμβρυοθλάστῃ καλουμένῳ. – τὰ om. C. — [18] ἐλ. ὥστε ὀλίγῳ (ὀστεολόγῳ θ ; ὀστεουλκῷ Foes in not., Lind.) ἢ (καὶ θ) τῷ vulg. – ὀστεουλκὸν est une conjecture à laquelle il faut préférer la leçon de θ ; et, comme dans les dictionnaires, ὀστεουλκὸν ne s'appuye que sur ce passage, ce mot est à rayer tant qu'on n'en aura pas trouvé d'autre exemple. – ἐλυστῆρι (sic) θ. – Gal. Gl. : ἐλκυστῆρι, τῷ ἐμβρυουλκῷ. – καθέντα θ. – πολὺ θ. – ἀλλ' ὀλίγον J. – αὖτις θ.

ἑλκυστῆρι, παρὰ τὴν κληῖδα καταθέντα ὡς ἂν ἔχηται, ἕλκειν, μὴ κατὰ πουλὺ, ἀλλὰ κατ' ὀλίγον, ἐξανιέντα καὶ αὖθις βιώμενον. Ὅταν δὲ ταῦτα [1] μὲν ἔξω εἰρύσῃς, ἐν δὲ τοῖσιν ὤμοισιν ἔῃ, τάμνειν τὰς χεῖρας ἄμφω ἐν [2] τοῖσιν ἄρθροισι μετὰ τῶν ὤμων· καὶ ὅταν ταῦτα κομίσῃς, ἢν μὲν οἷόν τε ᾖ ἰέναι, καὶ τἄλλα εὐπετέως ἕλκειν· ἢν δὲ μὴ ἐνακούσῃ, τὸ στῆθος πᾶν μέχρι τῶν σφαγέων σχίζειν, φυλάσσεσθαι δὲ ὡς μὴ κατὰ τὴν γαστέρα τάμῃς, καὶ ψιλώσῃς τι τοῦ [3] ἐμβρύου, ἔξεισι γὰρ ἡ γαστὴρ καὶ [4] τὰ ἔντερα καὶ κόπρος· ἢν δέ τι τουτέων ἐκπέσῃ, πραγματοειδέστερον ἤδη γίνεται· ξυμφλάσαι δὲ τὰ πλευρὰ, [5] καὶ τὰς ὠμοπλάτας ξυναγαγεῖν, καὶ ῥηϊδίως μετὰ ταῦτα χωρήσει τὸ λοιπὸν ἔμβρυον, ἢν μὴ ἤδη οἰδαλέον ᾖ τὴν κοιλίην· ἢν [6] γὰρ ᾖ τι τοιοῦτον, ἄμεινον τὴν γαστέρα τοῦ ἐμβρύου τρῆσαι πρηέως, ἔξεισι γὰρ φῦσα μοῦνον ἐκ τῆς γαστρὸς, καὶ εὐπετέως οὕτω χωρήσει. Ἢν [7] δὲ ἐκπεπτώκῃ ἡ χεὶρ ἢ τὸ σκέλος τεθνεῶτος τοῦ ἐμβρύου, ἢν μὲν δυνατὸν ᾖ, εἴσω ἀπῶσαι ἄμφω, καὶ εὐτρεπίσαι τὸ ἔμβρυον, ταῦτα ἄριστα· [8] ἢν δὲ μὴ οἷόν τε ᾖ τοῦτο ποιῆσαι, ἀποτάμνειν ὅ τι ἂν ἔξω [9] ᾖ ὡς ἂν δύνηται ἀνωτάτω, καὶ τοὐπίλοιπον ἐσμασάμενος προῶσαι καὶ στρέψαι τὸ ἔμβρυον ἐπὶ κεφαλήν· ὅταν δὲ στρέφειν ἢ [10] κατατάμνειν μέλλῃς τὸ παιδίον, τὰς ἰδίας χεῖρας χρὴ ἀπονυχίσασθαι, τὸ δὲ μαχαίριον, ᾧ ἂν κατατάμνῃς, καμπυλώτερον ἔστω ἢ ἰθύτερον, καὶ τοῦτο κατὰ κεφαλὴν ἀμφικαλύπτειν τῷ λιχανῷ δακτύλῳ, ἐσματευόμενον καὶ ὁδηγεῦντα καὶ ὀῤῥωδέοντα, ὅπως μὴ ψαύσῃς τῆς ὑστέρης.

71. Περὶ [11] δὲ μύλης κυήσιος τόδε αἴτιον· ἐπὴν πολλὰ τὰ ἐπιμήνια ἐόντα γονὴν ὀλίγην καὶ νοσώδεα ξυλλάβωσιν, οὔτε κύημα ἰθαγε-

[1] Μὲν θ. – μὲν om. vulg. – ἔξω om. Cθ. – εἰρ. ἔξω J. – τοῖσι νόμοισιν C. – ἐνῇ (ἐν ᾗ HI; ἦ C; ἔῃ θ) vulg. — [2] τοῖς θ. – κομίσῃ Cθ. – μὲν οἴονται ἢ θ. – τ' C. – τὰ ἄλλα C. – εὐπετῶς vulg. – εὐπετέως θ. – δὲ μηδὲν (μὴ θ) ἀκούσῃ (ἐνακούῃ θ) vulg. – σφαγίων H. — [3] ὀστέου θ. – ἐντέρου legisse videtur Cornarius. – ἔξισι θ. — [4] τὸ ἔντερον θ. – καὶ [ἡ] κόπρος Lind. – γὰρ pro δὲ C. – τούτων vulg. – τουτέων C. – πραγματωδέστερον θ. – ξυνθλάσαι K. – δὲ καὶ τὰ θ. — [5] τοὺς C. – ξυνάγειν vulg. – συναγαγεῖν θ. – ῥηδίως θ. – μετὰ τ. om. Cθ. – χωρέει C. — [6] δὲ pro γὰρ θ. – τοιοῦτόν τι K. – τοῖον C. – ἔξισι θ. – μόνον vulg. – μούνον (sic) θ. – ἐκ Cθ. – ἀπὸ vulg. – οὕτω om. Cθ. — [7] Post δὲ addit μὴ C. – ἐκπεπτώκει C. – τεθνειῶτος C. – ἐμβρίου F. – εὐτρεπῆσαι CFGI, Frob. – εὐτρεπεῖσαι θ. — [8] εἰ vulg. – ἢν CJθ. – τι pro τε θ. – ᾖ om. θ. – εἴη C. — [9] ἢ C. — [10] κατατέμνειν vulg. – κατατάμνειν CHθ. – ἰδ. om. Cθ. –

ne cause pas d'embarras, et tirer les os avec la cuiller à os; alors tirer avec le crochet à embryon, crochet que l'on fixe à la clavicule afin qu'il tienne, tirant non tout à la fois, mais peu à peu, relâchant et puis forçant. Quand vous avez amené cela au dehors et que le fœtus est aux épaules, couper les deux bras dans les articulations avec les épaules; cela étant amené, si le reste peut venir, le tirer sans retard. Mais s'il résiste, fendre la poitrine entière jusqu'à la gorge, tout en prenant garde à ne pas couper dans le ventre et à n'y rien mettre à nu; car l'estomac, les intestins et les matières fécales sortiraient; et s'il sort quelqu'une de ces choses, l'opération devient plus embarrassante; écraser les côtes, rapprocher les omoplates, et alors le reste du fœtus cheminera sans peine, à moins qu'il n'ait déjà le ventre tuméfié. S'il y a quelque tuméfaction, il vaut mieux percer doucement le ventre de l'embryon; il n'en sort que du vent, et le corps cheminera ainsi facilement. Quand le bras ou la jambe est sortie, l'enfant étant mort, si la chose est possible, repousser l'un et l'autre et faire la version; voilà le mieux. Si la chose n'est pas possible, retrancher ce qui est en dehors aussi haut que faire se pourra, et, pour le reste, reporter la main, repousser et faire la version par la tête. Quand vous devez faire la version ou la section de l'enfant, les ongles de l'opérateur seront coupés; le bistouri dont il se servira sera plutôt courbe que droit; on en cachera l'extrémité avec le doigt indicateur, palpant, guidant et craignant de blesser la matrice.

71. (*Môle. Explication de sa formation. Signes à l'aide desquels on la distingue de la grossesse. Traitement.*) Voici la cause de la formation d'une môle : quand les menstrues étant abondantes reçoivent une semence peu copieuse et morbide,

εὐθύτερον vulg. – ἰθύτερον θ. – καλύπτειν ἀμφὶ τῷ ληχάνω (sic) δακτ. θ. – λειχανῷ K. – ἐσματεύμενον vulg. – ἐσματευμένον FG, Ald., Frob. – ἐσματευσάμενον DH. – ἐσματαιομένον (sic) C. – ἐσματευόμενον θ. – ὁδηγέοντα θ. – ὀρωδ. C. – ψαυθῆς (sic) θ. — [11] δὲ om. DK. – κυήσεως HIK. – πουλλὰ DFG HK, Ald., Frob., Cordæus. – γουνὴν (sic) DFHIK. – νοσώδη vulg. – νοσώδεα θ. – συλλ. θ.

νὲς γίνεται, [1] καὶ ἡ γαστὴρ πλήρης ὥσπερ κυούσης, κινέεται δὲ οὐδὲν ἐν τῇ γαστρὶ, οὐδὲ γάλα ἐν τοῖσι τιτθοῖσιν ἐγγίνεται, [2] σφριγᾷ δὲ τοὺς τιτθούς. Αὕτη οὖν δύο ἔτεα, πολλάκις δὲ καὶ τρία οὕτως ἔχει. [3] Καὶ ἢν μὲν μία σὰρξ γένηται, ἡ γυνὴ ἀπόλλυται· [4] οὐ γὰρ οἵη τέ ἐστι περιγενέσθαι· ἢν δὲ πολλαὶ, ῥήγνυται αὐτέῃ κατὰ τὸ αἰδοῖον αἷμα πουλὺ καὶ σαρκῶδες· καὶ ἢν [5] μὲν μετριάζῃ, σώζεται· [6] ἢν δὲ μὴ, ὑπὸ ῥόου ἁλοῦσα ἀπόλλυται. Τὸ μὲν νούσημα τοιοῦτόν ἐστι· κρίνεσθαι δὲ χρὴ τῷ πληρώματι, καὶ ὅτι οὐ κινέεται ἐν τῇ γαστρί· τὸ μὲν γὰρ ἄρσεν τρίμηνον, τὸ δὲ θῆλυ τετράμηνον τὴν κίνησιν ἔχει· ἐπὴν οὖν τοῦ χρόνου παρελθόντος μὴ [7] κινέηται, δηλονότι τοῦτό ἐστιν· ἔστι δὲ [8] καὶ τόδε τεκμήριον μέγα· ἐν τοῖσι τιτθοῖσι γάλα οὐκ ἐγγίνεται. Ταύτην μάλιστα [9] μὲν μὴ ἰῆσθαι· εἰ δὲ μὴ, προειπόντα ἰῆσθαι· καὶ πρῶτα μὲν πυρίησον ὅλον τὸ σῶμα, ἔπειτα κατὰ τὴν ἕδρην κλύσον, ὅκως αἷμα καταῤῥαγῇ πουλύ· καὶ γὰρ [10] ἴσως ἂν κινήσαις τὸ ἔμβρυον [11] τὸ δοκεῦν εἶναι τὸ ξυνεστηκὸς, διαθερμανθείσης τῆς γυναικὸς ὑπὸ τοῦ φαρμάκου· κλύζειν δὲ καὶ κατὰ τὰς μήτρας, [12] ὅκως αἷμα ἀπαγάγῃς· εἰ δὲ μὴ, προσθέτοισι χρῆσθαι τοῖσιν ἀπὸ τῆς βουπρήστιος ἰσχυροτάτοισι, καὶ πιπίσκειν τὸ δίκταμνον τὸ Κρητικὸν ἐν οἴνῳ· εἰ δὲ μὴ, [13] καὶ τὸν καστόριον ὄρχιν· καὶ ὄπισθεν αὐτῇ σικύην προσβάλλειν πρὸς τοὺς κενεῶνας, καὶ ἀφαιρέειν ὅτι πλεῖστον αἷμα· [14] πρόσβαλλε δὲ καὶ ὅτι μάλιστα τεκμαιρόμενος κατὰ τὰς μήτρας.

72. Καὶ [15] τοσοῦτον μὲν περὶ τῶν νοσημάτων τῶν ἀπὸ λοχείων

[1] Ἥ τε pro καὶ ἡ Cθ. – κεινέεται θ. – δ' C. – τοῖς τιτθοῖς θ. – ἐγγ. om. θ. — [2] σφριγγίδα δὲ τοῦ στήθους FGIJK. – φρυγγίδα τε τοῦ στήθους (D, al. manu σφρυγᾷ δὲ τὸ στῆθος) H. – σφρίγᾳ θ. – σφριγγᾷ C, Ald. – σφρυγᾷ Frob. – τοὺς τιτθοὺς Cθ. – τοῦ στήθους Ald. – τὸ στῆθος vulg. – αὐτὴ C. – γοῦν J. – ἔτη θ. – δὲ om. θ. — [3] κἢν θ. — [4] οὐδὲ vulg. – οὐ θ. – αὕτη θ. – αὕτῃ (sic) Cordæus. – αὕτη ἡ κατὰ C, (Ald., Frob., ἣ). – αὐτῇ ἡ κατὰ DFGHIJK. – τὰ αἰδοῖα θ. – αἷμά τε (τε om. θ) πολὺ (πουλὺ CHJK) vulg. – κἢν θ. — [5] μὴν θ. – Je lis μέν. – μὲν om. vulg. — [6] εἰ Cθ. – ἀπόλεται FI. – ἀπώλετο Cθ. – Post μὲν addit οὖν K. – νόσ. CDθ. – τοιοῦτο θ. – Post γαστρὶ addit τὸ βρέφος θ. – καὶ τὸ μὲν pro τὸ μὲν γὰρ θ. – γὰρ om. (D, restit. al. manu) J. – ἄρσε (sic) θ. – κείνησιν θ. — [7] κινεῖται θ. – τουτέστιν θ. — [8] καὶ Jθ. – καὶ om. vulg. – τοῦτο pro τόδε θ. – τῇσι J. — [9] μὲν (addit μὴ C) ἰῆσθαι (βιῆσθαι DFGHIJ) καὶ πρῶτα (πρῶτον D) vulg. – μὲν μὴ ἰῆσθαι· εἰ δὲ μὴ προειποντα (sic) ἰῆσθαι· καὶ πρῶτον θ. – Ante ὅλον addit τὴν γυναῖκα θ. – κλῦσον FIθ. – ὅπως θ. – πολὺ θ. — [10] ἴσ. κλῦσας (sic) κινήσιας ἂν τὸ θ. – κινήσει Q'.

il n'y a pas conception régulière, le ventre paraît plein comme chez une femme enceinte ; mais rien ne remue dans le ventre ; il ne se forme point de lait dans les mamelles, qui sont cependant turgescentes. Cet état dure deux ans, quelquefois même trois. S'il n'y a qu'une seule chair, la femme succombe ; car elle n'est pas en état de résister ; s'il y a plusieurs chairs, un sang abondant et plein de caroncules fait éruption par les parties génitales ; si ce flux se modère, elle réchappe ; sinon, la métrorrhagie la fait périr. Telle est cette maladie. On la reconnaîtra et par le developpement du ventre et par l'absence de tout mouvement dans le ventre. En effet, le fœtus mâle remue au bout de trois mois, le fœtus femelle au bout de quatre. Quand donc l'époque est passée sans qu'il y ait eu de mouvement, c'est évidemment une môle. Un autre signe considérable, c'est qu'il n'y a pas de lait dans les mamelles. Autant que possible ne pas traiter un tel cas ; et, si on le traite, avertir. D'abord, on fera une fumigation générale ; puis on prescrira un lavement qui produira un flux abondant de sang ; car peut-être on mettra en mouvement la concrétion qui paraît être un embryon, par l'effet du médicament qui aura échauffé le ventre. Faire aussi dans la matrice des injections qui amènent le sang ; sinon, introduire les pessaires les plus actifs faits avec le bupreste et donner à boire le dictame de Crète dans du vin, ou, à son défaut, le testicule de castor. Appliquez en arrière aux flancs une ventouse et tirez le plus possible de sang ; appliquez-en encore, aussi bien que vous pourrez l'apprécier, dans la région de la matrice.

72. (*Remarques sur les lochies. Quantité. Durée différente*

– In marg. οὐ διαβεβαιοῦται· ἀλλὰ καὶ οὗτος ἀμφιβάλλει· ἴσως γὰρ κινήσει τὸ ἔμβρυον G. — [11] τὸ θ. – τὸ om. vulg. – δοκοῦν vulg. – δοκεῖν Lind. – δοκεῦ (sic) G. – δοκεῦν CDFHIJK, Ald., Frob., Cordæus. – δοκέον θ. – συν. θ. — [12] ὅκως ἂν (ἂν om. Cθ) vulg. – ἀπαγάγῃς θ. – ἀγάγῃς vulg. – πρόσθε τοῖσι θ. – βουπρίστιος DK. – δίκταμον HK. — [13] καὶ om. θ. – αὕτη θ. – αὐτῇσι H. — [14] προσβάλλειν D. – πρόσβαλε C – ὃν pro ὅτι θ. – τὰ (τὰ om. θ) κατ' αὐτὰς (κατὰ τὰς μήτρας θ) vulg. — [15] τούτων pro τοσ. Cθ. – νουσ. Cordæus, Lind. – λοχειῶν FJ. – γιν. οὕτως εἴρηται Cθ.

γινομένων εἴρηται·[1] εἰσὶ δὲ οἱ κίνδυνοι ἐν αὐτοῖσιν οὐ σμικροί· ὀξέα γάρ ἐστι καὶ ταχὺ μεταλλάσσοντα, καὶ μᾶλλον πονέονται αἱ πρωτοτόκοι ἢ αἵτινές εἰσιν ἔμπειροι τόκων. Χωρέει δὲ τὰ [2]λοχεῖα τῇ ὑγιηρῇ γυναικὶ ἱκανὸν ὅσον ἀττικὴ κοτύλη καὶ ἡμίσεια τὸ πρῶτον ἢ ὀλίγῳ πλέονα, ἔπειτα ἐπὶ ἐλάσσονα [3]κατὰ λόγον τούτου, μέχρις ἂν παυσῆται· χωρέει δὲ οἷον αἷμα ἀπὸ ἱερείων, ἢν ὑγιηρὴ, ὡς ἔφην, ἡ γυνὴ καὶ μέλλῃ ὑγιαίνειν, καὶ ταχὺ πήγνυται. [4]Καὶ καθαίρεσθαι μετὰ τὸν τόκον ὡς ἐπὶ τὸ πλέον τὴν ὑγιηρὴν ξυμβαίνει, ἐπὶ μὲν τῇ κούρῃ ἡμέρας τεσσαράκοντα καὶ δύο τὴν χρονιωτάτην κάθαρσιν, ἀκίνδυνος δέ ἐστι καὶ εἴκοσι καὶ πέντε ἡμέρας καθαιρομένη· [5]ἐπὶ δὲ τοῦ κούρου ἡμέρας τριήκοντα ἡ κάθαρσις γίνεται ἡ χρονιωτέρη, ἀκίνδυνος δέ ἐστι καὶ εἴκοσιν [6]ἡμέρας γενομένη. Καὶ τῶν διαφθαρεισέων τὰ ἔμβρυα κατὰ λόγον ἡ κάθαρσις γίνεται τούτων τῶν ἡμερέων, καὶ ἐπὶ [7]τοῖσι νεωτέροισι φθαρεῖσιν ἐλάσσονας ἡμέρας, ἐπὶ δὲ τοῖσι γεραιτέροισι πλέονας. Παθήματα δὲ [8]τὰ αὐτά ἐστι περὶ λοχείων φθαρείσῃ τε τὸ ἔμβρυον καὶ τεκούσῃ, ἢν μὴ νήπιον φθείρῃ τὸ παιδίον· καὶ κινδυνεύουσιν [9]αἱ φθείρουσαι μᾶλλον· αἱ γὰρ φθοραὶ τῶν τόκων χαλεπώτεραί εἰσιν· οὐ γάρ ἐστι μὴ οὐ βιαίως φθαρῆναι τὸ ἔμβρυον ἢ φαρμάκῳ ἢ ποτῷ ἢ βρωτῷ ἢ προσθέτοισιν ἢ ἄλλῳ τινί· βίη δὲ πονηρόν ἐστιν· [10]ἐν γὰρ τῷ τοιούτῳ κίνδυνός ἐστι τὰς μήτρας ἑλκωθῆναι ἢ φλεγμῆναι· τοῦτο δέ ἐστιν ἐπικίνδυνον.

73. Τὸ δὲ γάλα ὅκως γίνεται, εἴρηταί μοι ἐν τῇ φύσει τοῦ παι-

[1] Ἧσι HK. – οἷσι DFJ. – δ' θ. – οὐ σμ. (μι. θ) ἐν αὐτοῖσιν Cθ. – αὐτῇσιν K. – μεταλλάσσονται Jθ. – μαλάσσοντα DH. – πονοῦνται vulg. – πονοῦντα C (D, al. manu πονοῦνται) FGHIK, Ald. – πονέονται θ. – πρωτότοκοι CDFGHI, Frob. — [2] λόχια D. – λοχεία θ. – λοχία J. – ἀττικῇ Cθ. – καὶ om. (D, restit. al. manu) FGJK. – ἡμίσια θ. – ἡμισεία CDFGHIK, Ald. — [3] κατ' ὀλίγον θ. – μέχρι sine ἂν Cθ. – ἱερίων C. – κρεῶν pro ἱερ. θ. – ἢν pro ᾗ C. – μέλλει H. — [4] καὶ καθαίρεται (καθαίρηται Cordæus)· καὶ μετὰ τ. τ. ὡς ἐ. τὸ πλέον (πλεῖον θ) τῇ ὑγιηρῇ (ὑγιηρεῖ J) (τὴν ὑγιηρὴν θ) ξ. (σ. θ) vulg. – La leçon de θ, τὴν ὑγιηρὴν, met sur la voie : il faut lire καθαίρεσθαι et supprimer καί. – ἡμέρῃσι τεσσεράκοντα θ. – ἀκινδύνως vulg. – ἀκινδύνους C. – ἀκίνδυνος θ. – εἴκοσι πρὸς (καὶ pro πρὸς Cθ) ταῖς (τοῖς DFHI ; ταῖς om. Cθ) πέντε (πένθ' C) ἡμέραις (ἡμέρας CFGHIKθ) vulg. — [5] ἐπὶ δ' αὖ τοῦ θ. – τριάκ. K. – τριάκ. ἡμέρῃσιν θ. – χρονιωτέρα J. — [6] ἡμέρῃσι θ. – γεν. θ. – γιν. vulg. – διαφθαρεισῶν vulg. – διαφθαρεις ἐων (sic) θ. – διαφθειρουσῶν D. – διαφθειρεισέων (sic) C. — [7] τῇσι νεωτέρῃσι vulg. – τοῖσι νεωτέροισι Cθ. – τῇσι γεραιτέρῃσι vulg. – τοῖσι γεραιτέροισι Cθ. — [8] ταῦτα vulg. – ταὐτὰ Cordæus, Lind. – τὰ αὐτὰ θ. – λο-

si c'est un garçon ou une fille. Les suites d'un avortement sont plus graves que celles d'un accouchement.) Voilà ce que j'ai à dire sur les maladies provenant des lochies. Elles font courir des dangers non petits, étant aiguës et se déplaçant rapidement. Les primipares en souffrent plus que celles qui ont l'expérience des accouchements. Chez une femme saine, la quantité des lochies qui s'écoulent est suffisante si, au commencement, elle est d'une cotyle attique et demie (*cotyle* = 0^{litre},27) ou un peu plus ; puis elles diminuent proportionnellement jusqu'à ce qu'elles cessent. Elles sont semblables au sang des victimes si la femme est, comme j'ai dit, saine et doit bien se porter, et elles se coagulent promptement. La purgation lochiale, chez une femme saine, dure d'ordinaire, après l'accouchement d'une fille, au plus quarante-deux jours, il n'y aurait pas de danger non plus quand elle ne durerait que vingt-cinq jours ; après l'accouchement d'un garçon, trente jours au plus ; il n'y aurait pas de danger non plus quand elle n'en durerait que vingt. Après les avortements, les purgations lochiales durent, suivant cette même proportion, moins pour les fœtus plus jeunes, plus pour les fœtus plus âgés. Les affections attachées aux lochies sont les mêmes chez une femme avortant, si l'embryon n'est pas tout à fait petit, que chez une femme accouchant. Les dangers sont plus grands pour la femme qui avorte, les avortements étant plus pénibles que les accouchements. Il n'est pas possible, en effet, qu'il n'y ait pas violence dans l'expulsion de l'embryon, soit par un purgatif, soit par une boisson, soit par un aliment, soit par des pessaires, soit par toute autre cause. Or, la violence est mauvaise, amenant le risque ou de l'ulcération ou de l'inflammation de la matrice ; ce qui est très-périlleux.

73. (*Remarques sur la cause qui fait que les règles man-*

χειῶν DFGHIJK. – φθειράση CDFGKθ, Ald. – τε om., restit. al. manu D. – μηνιαῖον (μήνιον C ; μὴ νήπιον θ) φθ. vulg. — [9] Ante αἱ addit δὲ θ. – μὴ CDFGHJKθ, Ald., Frob., Cordæus. – μὴ om. vulg. — [10] ἐν τῷ τοι. δὲ θ. – ἐν τοιούτῳ δὲ C. – ἑλκεωθῆναι CFIJ, Ald. – ἐπικίνδ. ἐστι θ.

δίου [1] τοῦ ἐν τόκῳ· ἐπὴν δὲ κυΐσκηται ἡ γυνὴ, καταμήνια οὐ μάλα χωρέει, πλὴν ἔστιν ᾗσιν ὀλίγα· τρέπεται [2] γὰρ ἐς τοὺς μασθοὺς τὸ γλυκύτατον τοῦ ὑγροῦ ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν, καὶ ἐκθηλάζεται· καὶ ἀνάγκη [3] ἐστὶ τὸ ἄλλο σῶμα κεκενῶσθαι μᾶλλον, καὶ ἧσσον πλῆρες γίνεται τοῦ αἵματος· τοῦτο οὕτω γίνεται. Εἰσὶ δὲ αἵτινες φύσει ἀγάλακτοί εἰσι, [4] καὶ σφέας ἐπιλείπει τὸ γάλα πρὸ τοῦ καιροῦ· αὗται [5] φύσει στεῤῥαί εἰσι καὶ πυκνόσαρκοι, [6] καὶ οὐ διέρχεται ἐπὶ τοὺς μαζοὺς ἀρκέουσα ἰκμὰς ἀπὸ τῆς κοιλίης, πυκνῆς τῆς ὁδοῦ ἐούσης.

74. [7] Ἐπιμήνια κατασπάσαι· ἐλατηρίου δύο πόσιας, ξυμμίσγεται δὲ καὶ στέαρ ὄϊος ἀπὸ τῶν νεφρῶν, ὅσον τὸ ἐλατήριον, μὴ διαθρύπτεσθαι, ποιέειν δὲ δύο προσθετά· ἢ [8] μελάνθιον τὸ ἐκ τῶν πυρῶν τρίψας ὕδατι φορύξαι καὶ προσθετὰ δύο ποιῆσαι· προστιθέναι δὲ ταῦτα πρὸ τῶν ἡμερέων ᾗσι μέλλει ἐπέρχεσθαι· ποιέει δὲ, μὴ ἐξερχόμενα, ῥίγεα καὶ πυρετούς. [9] Μαλθακὰ ὑφ' ὧν καθαίρεται ὕδωρ καὶ ψάμμος, καὶ ἄγει ἐπιμήνια, ἢν μὴ πολυχρόνια ᾖ, καὶ [10] τὸ στόμα μαλθάσσει· νάρκισσον, σμύρναν, κύμινον, λιβανωτὸν, ἀψίνθιον, κύπειρον, ἴσον ἑκάστου, [11] ναρκίσσου δὲ μοίρας τέσσαρας, ἐπικτένιον ὠμοῦ λίνου ξυμμίξας, ταῦτα τρίβειν ὀριγάνου ἡψημένου ξὺν ὕδατι, καὶ ποιέειν βάλανον, [12] καὶ προστιθέναι· [13] ἢ καὶ κυκλαμίνου μίσγε ὅσον ἀστράγαλον· καὶ ἄνθος χαλκοῦ [14] ὅσον

[2] Τῇ pro τοῦ (D, al. manu τοῦ) FGHIJK. – ἐπὴν om. (D, restit. al. manu) FGHIJ. – κυΐσκεται DJ. – κυήσκηται HK. – πολλὰ pro μάλα, in marg. γάλα C. – μᾶλλαωρέει (sic) θ. – μὴν pro πλὴν FGIJ. – μιν (D, al. manu πλὴν) HK. – μὴ pro πλὴν C. – εἰ μὴ pro πλὴν θ. — [2] δὲ pro γὰρ DFGHIJK. – μαστοὺς CDFGHIJKθ. – ἀπό τε (τε om. Cθ) τῶν vulg. – ἐνθηλάζεται D. – ἐλθηλάζεται (sic) IK. — [3] ἐστὶ (ἔσται θ) καὶ (καὶ om. θ) τὸ vulg. – καὶ κενῶσθαι (sic) θ. – σώματος pro αἱμ. θ. – οὕτως vulg. – οὕτω θ. — [4] καὶ.... εἰσὶ om., restit. al. manu D. — [5] δὲ (δὲ om. Cθ) φύσει vulg. – στερεαὶ Cθ. — [6] καὶ διὰ τοῦτο (διὰ τ. om. Cθ) οὐ vulg. – μαστοὺς θ. – ἀρκοῦσα vulg. – ἀρκεῦσα C. – ἀρκέουσα θ. — [7] περὶ τοῦ ἐπ. κατασπάσαι HK. – κατασπᾶται vulg. – κατασπάσαι I. – κατασπᾶσαι CDFGJθ. – πόσιες θ. – συνμίσγ. θ. – ξυμμίγεται C. – πρόσθετα (bis) Cθ. — [8] μελάθιον, al. manu λάν D. – μελάνιον θ. – πυρρῶν FGIK. – φορίξαι FGJ, Frob. – ποιέειν Cθ. – προτιθέναι HI. – ταῦτα om. Cθ. – ἡμερῶν vulg. – ἡμερέων Cθ. – ἐπέρχεσθαι om. Cθ. – μὴ ἐξερχ. om. Cθ. — [9] μαλθακὸν ὑφ' οὗ D. – ὕφαιμα pro ψάμμος conjicit Foes in not., ἄμνιον vero L. – καὶ ἄ. ἐπ. om. L. — [10] τὸ om. θ. – μαλθάσει C. – Ante ναρκ. addit ἕτερον G. – ναρκίσσινον malit Foes in not. – μύρσινον (sic) σμύρναν pro σμ. κύμ. C. – κύμ. σμ. θ. – καὶ (καὶ om. CJ) λιβ. vulg. – κύπειρον D. – κύπριον L. – κύπαιρον θ. – κύπερον vulg. — [11] ναρκισσίνου C. – δὲ μόνον (μόνον om. Cθ) μ. vulg. – τέσσερας θ. – ὁμοῦ J. – ὠμόλινον, συνμίξας θ. –

quent chez une femme qui allaite.) La formation du lait a été expliquée par moi dans la nature de l'enfant à l'époque de l'accouchement. Les femmes grosses n'ont pas leurs règles, excepté quelques-unes, et en petite quantité. La partie la plus douce du fluide provenant des aliments et des boissons se porte aux mamelles, et y est attirée comme par succion; nécessairement alors le reste du corps se vide davantage et devient moins plein de sang. Telle est la cause de ce fait. Chez quelques femmes il y a agalaxie, et le lait manque avant le temps; celles-là ont la chair solide et dense, et un fluide suffisant ne se rend pas du ventre aux mamelles, attendu que la voie est obstruée.

74. (*Formules de pessaires emménagogues. Je remarque d'une façon générale, au sujet des formules de tout genre qui vont se suivre jusqu'à la fin de ce livre, qu'elles ont été ainsi placées intentionnellement par l'auteur, qu'elles forment un appendice nécessaire de son livre, et que c'est d'elles qu'il parle quand il dit dans la description des maladies particulières :* On emploiera les pessaires, les injections, etc., que j'indiquerai.) Pour provoquer les règles : prendre deux potions d'élatérion, mêler de la graisse de mouton d'autour des reins en quantité égale à l'élatérion, ne pas écraser, et faire deux pessaires. Ou prendre la nielle qui vient dans les blés, piler, pétrir avec de l'eau, et faire deux pessaires; on appliquera ces pessaires avant les jours où les règles doivent venir; ne venant pas, elles causent des frissons et des fièvres. Émollients (De la Nat. de la F., § 32, p. 365, et § 109, p. 431) qui évacuent l'eau et le sable, provoquent les règles, si la suppression n'en est pas ancienne, et assouplissent l'orifice utérin : narcisse, myrrhe, cumin, encens, absinthe, cypirus (*cyperus rotundus*, L.), de chaque partie égale, sauf le narcisse dont il y aura quatre parts, mêler la partie de l'é-

ἐψημ. vulg. - ἡψημ. C. - σὺν vulg. - ξὺν C, Lind. — [12] καὶ om. θ. — [13] καὶ ἢ C. - ἢ sine καὶ Dθ. - ὡς pro ὅσον θ. — [14] ὡς pro ὅσον Cθ. - ὑοσκύαμον pro ὅσ. κ. (D, emend. al. manu) F (GJ, ὑοσκίαμον) HKL, Ald. - μελιτι δὲ δεύειν καὶ ποιεῖν C (θ, ποιέειν).

κύαμον τρίψας, μέλιτι δεῦσαι καὶ ποιῆσαι βάλανον, καὶ προστιθέναι· ἢ [1] γλήχωνα, σμύρναν, λιβανωτὸν, ὑὸς χολὴν καὶ βοὸς ἐν μέλιτι ἀναταράσσειν καὶ ἀναπλάσσειν βάλανον. Ἢν τὰ ἐπιμήνια μὴ γίνηται, χηνὸς ἔλαιον καὶ νέτωπον καὶ [2] ῥητίνην ξυμμίσγουσα προσθέσθω, εἰρίῳ ἀναλαμβάνουσα. [3] Προσθετὸν καθαρτικὸν μαλθακόν· ἰσχάδα λαβὼν δίεφθον ποιέειν, καὶ ἀποπιέσας τρίβειν ὡς λειοτάτην, εἶτα πρόσθες ἐν εἰρίῳ καὶ ῥοδίνῳ μύρῳ. [4] Τὸ δριμύ· κράμβης, πηγάνου, ἑκατέρου ἥμισυ τρίψας, τὸν αὐτὸν τρόπον χρέο. [5] Καθαρτικόν· χηνὸς μυελὸν, ἢ βοὸς, ἢ ἐλάφου, ὅσον κύαμον, παραχέοντα μύρον ῥόδινον καὶ γάλα γυναικὸς, τρίβειν ὡς φάρμακον τρίβεται, εἶτα τούτῳ ἐναλείφειν τὸ στόμα τῆς μήτρης. [6] Ἕτερον προσθετὸν μαλθακόν· χηνὸς μυελὸν ὅσον κάρυον, κηρὸν ὅσον κύαμον, ῥητίνης σχινίνης ἢ τερεβινθίνης ὅσον [7] κύαμον, ταῦτα τήξας ἐν μύρῳ ῥοδίνῳ ἐπὶ πυρὸς μαλθακοῦ, ποίησον ὡς κηρωτήν· εἶτα τούτῳ χλιερῷ ἐναλείφειν τὸ στόμα τῆς μήτρης, καὶ τὸν κτένα καταβρέχειν. [8] Ἕτερον καθαρτικόν· ἄλευρον σιτάνιον, σμύρνης τριώβολον, κρόκου τὸ ἴσον, καστορίου ὀβολὸν, ταῦτα τρίψας μύρῳ ἰρίνῳ προστιθέσθω· ἢ [9] κνίδης καρπὸν καὶ μαλάχης χυλὸν καὶ χηνὸς στέαρ ἅμα συμμίξαντα προσθεῖναι. [10] Προσθετὸν ἄλλο καθαρτικὸν, ἢν τὰ γυναικεῖα μὴ φαίνηται· στύρακα καὶ ὀρίγανον τρίψας λεῖον καὶ ξυμμίξας, ἐπίχεε χηνὸς ἔλαιον, καὶ προστίθει.

[1] Γλήχονα CFG, Ald., Frob. – γλίχωνα J. – ἢ (ἢ om. θ) σμύρναν (σμύρνα θ) vulg. – χολήν τε (τε om. Cθ) vulg. – ἐν om. Cθ. – ἀναπλάττειν vulg. – ἀναπλάσαι θ. – ἀνάπλασσε C. — [2] ῥιτίτην FGI, Ald. – ξυμμίγουσα J. – μίσγουσα θ. – προστίθει (προσθέσθω θ) τῷ (τῷ om. θ) εἰρ. vulg. – ἀναλάβουσα (sic) θ. — [3] Ante πρ. addunt ἕτερον DFHIJKL. – πρ. κ. μ. om. D. – πρόσθ. Cθ. – καθαρτήριον θ. – καὶ μαλθακτικὸν L. – ἰσχάδα.... καθαρτικὸν om. L. – λειότατον vulg. – λειοτάτην θ. – ἢ καὶ ῥ. L. – Cordæus est l'auteur de cette leçon et rapporte ἢ κ. ῥ. μ. à ce qui suit. — [4] Il faut mettre τὸ δριμὺ en titre; voy. le passage parallèle des Mal. des Femmes, t. VII, § 109, p. 426. – ἑκάτερον H. – χρῶ θ. — [5] ἕτερον προσθετὸν μαλθακὸν J. – προσθετὸν καθ. μαλθακὸν DFIH (L, μαλθακτικόν). – πρόσθετον μαλθακὸν καθαρτικὸν θ. – ἢ βοὸς om. Ald. – μύρου K. – μύρου ῥοδίνου CDFGHJLθ. – ῥοδ. om. K. – τρίβειν om. J. – ὡς φ. τρίβ. om. K. – ἐν (ἐν om. Cθ) τ. (τούτων θ) ἀλείφειν (ἐναλείφειν Cθ) vulg. – μήτρας DGHIK, Ald., Frob. — [6] προσθετὸν καθαρτικὸν μαλθακὸν Q'. – καθαρτικὸν pro ἕ. π. μ. CFHILθ. – ἄλλο pro ἕ. π. μ. DJ. – ἕτερον καθαρτικὸν pro ἕ. π. μ. K. – κήρου θ. – ῥιτίνης FGI, Ald. – ῥητήνης σχίνης (sic) C. – σχοινίνης J. – τερμινθίνης C. – τερεμινθίνης θ. — [7] κάρυον θ. – τῆξαι θ. – σὺν (ξὺν Lind.; σὺν om. θ; ἐν C) μ. vulg. – καὶ ποιῆσαι Cθ – χλιηρῷ vulg. – χλιερῷ θ. – ἐναλ. χλιηρῷ C. – βρέχειν CJ. —

toupe du lin écru qui reste sur le peigne, piler ensemble avec de l'eau où de l'origan aura bouilli, faire un pessaire et l'appliquer. Mêlez (ib.) aussi gros qu'un osselet de cyclamen. Pilez encore (ib.) gros comme une fève de fleur de cuivre, mouillez avec du miel, faites un pessaire et appliquez ; ou bien (ib.) pouliot, myrrhe, encens, bile de porc et de bœuf, agiter dans du miel, et former en pessaire. Si les règles ne viennent pas, graisse d'oie, nétopon, résine, mêlez, recueillez dans de la laine, et appliquez. Pessaire purgatif émollient (ib., § 109) : prenez des figues sèches, faites-les bien cuire, exprimez, broyez très-bien, puis appliquez dans de la laine et de l'huile de rose. Le pessaire âcre (ib. § 109) : chou, rue, de chaque une demi-partie, pilez, employez de la même façon. Mondificatif (ib.) : moelle d'oie ou de bœuf, ou de cerf, gros comme une fève, versez de l'huile de rose et du lait de femme, pilez comme on pile un médicament; puis, avec cette préparation, oignez l'orifice de la matrice. Autre pessaire émollient (ib.) : moelle d'oie gros comme une noix, cire gros comme une noix, résine de lentisque ou térébenthine gros comme une fève, faites fondre avec de l'huile de rose sur un feu doux, et préparez comme un cérat ; puis, avec cette préparation, oignez l'orifice de la matrice, et faites des affusions sur le pénil. Autre mondificatif (ib.) : farine de blé du printemps, trois oboles de myrrhe; autant de safran, une obole de castoreum, pilez avec de l'huile d'iris, et appliquez. Ou bien (ib.) graine d'ortie, eau de mauve, graisse d'oie, mêler, appliquer. Autre pessaire mondificatif si les règles ne paraissent pas (ib.) : styrax, origan, piler fin, mêler, ver-

[8] προσθετον pro ἕτ. C. – ἄλλο pro ἕτ. κ. J. – ἕτερον ἢν τὰ γυναικεῖα μὴ φαίνηται pro ἕτ. κ. K. – σητάνειον Jθ. – σητάνιον DFGIK. – εἰρίνω Jθ. – ἠρινῶ (sic) C. – προσθέσθω θ. — [9] κνιδέης C. – μολόχης θ. – ἐν χηνὸς στέατι τρίψαντα pro καὶ χ. στ. ἄ. c. Cθ. — [10] προσ. om. D. – ἕτ. πρ. καθ. K. – ἕτ. καθ. πρ. J. – ἄλλο om. Cθ. – ἢν τ. γ. μ. φ. om. K. – φαίνηται Cθ. – φαίνωνται vulg. – στύρικα J. – Ante λεῖον addit καὶ J. – λία θ. – συμμ. vulg. – ξυμμ. C. – μίξας D. – ἐπίχεαι vulg. – ἐπίχεον Cθ. – ἐπίχεε DFHIJK. – καὶ ὧδε προστιθέσθω Cθ.

[1] Ἕτερον καθαρτικὸν προσθετὸν, ὥστε μήτρας ἐκκαθαίρειν καὶ αἷμα ἐκκενοῦν· ἀψινθίου ῥίζαν τρίψας λείην, μέλιτι καὶ ἐλαίῳ χηνὸς μίξας, προστίθει. [2] Ἕτερον προσθετὸν καθαρτικόν· βουπρήστιος ἀφελεῖν κεφαλὴν καὶ πόδας καὶ πτερά· τὰ δ' ἄλλα τρίβειν, καὶ ξυμμίσγειν τοῦ σύκου τὸ ἔνδον· διπλάσιον δὲ τὸ πῖον ἔστω· τοῦτο φυσᾷ τὰς ὑστέρας, τοῦτο καὶ τῇσιν ἀπαυδώσῃσιν ἄριστον. Ἡ λινοζώστιος [3] τὰ φύλλα λεῖα προσθετὰ ποιέειν· τοῦτο λεπτὴν ἄγει καὶ χολώδεα κάθαρσιν. [4] Καὶ ἡ ἀρτεμισίη ποιέει ὡς ἡ λινόζωστις, καὶ καθαίρει ἄμεινον. Ἐλλέβορος μέλας [5] ἐν ὕδατι λεῖος, ἄγει καὶ οὗτος οἷον ἀπὸ κρεῶν ὕδωρ. Καὶ [6] ἡ στυπτηρίη δὲ καὶ [7] ἡ ῥητίνη τωὐτὸ δρᾷ. [8] Κύπειρος, ἀψίνθιον, ἀριστολοχία, κύμινον, ἅλες, μέλι, ταῦτα πάντα ἐν τωὐτῷ τρίβειν καὶ προστιθέναι. Καὶ ἐλλέβορος ἐν οἴνῳ [9] γλυκεῖ, αἱρῶν ἄλευρον καὶ πύρινον μέλιτι φυρήσας, ἐν εἰρίῳ προστιθέναι. [10] Προσθετὰ, ἢν μὴ τὰ κατάποτα καθαίρῃ· λινόζωστιν, σμύρναν, λευκόϊον, κρόμμυον ὡς δριμύτατον, καὶ μελάνθιον, [11] καὶ τὸ ἡδύοσμον, ἢν ὑποφέρῃ, ξυμμίξας, προστίθει. [12] Προσθετὰ δριμέα ἄγοντα αἷμα· κανθαρίδας πέντε, πλὴν τῶν ποδῶν καὶ πτερῶν καὶ κεφαλῆς, καὶ σμύρναν καὶ λιβανωτὸν ἅμα ξυμμίσγειν καὶ μέλι, ἔπειτα βάψας ἐς ἄλειφα ῥόδινον ἢ αἰγύπτιον προσθέσθω τὴν ἡμέρην, καὶ ἐπὴν δάκνῃ, ἀφαιρέεσθαι· καὶ

[1] Ἄλλο pro ἕ. κ. π. D. – ἕτ. om. Cθ. – πρ. καθ. CJθ. – καθ. πρ. K. – κενοῦν D. – λίην θ. – μέλιτι μίξας ἐν ἐλαίῳ πρόσθες pro καὶ.... προστίθει θ. – καὶ ξυμμίξας ἐπίχεον χηνὸς ἔλαιον ἐν μέλιτι καὶ πρόσθες pro καὶ.... προστίθει C. – χηνὸς om. (D, restit. al. manu) FGIJ. — [2] ἕτ. om. Cθ. – ἄλλο pro ἕ. π. κ. D. – ἄλλο pro ἕ. π. J. – καθαρτήριον C. – βουπρίστιος K. – καὶ πόδας om. C. – καὶ τὰ πτερὰ θ. – δ' om. C. – ἄλλα αὐτοῦ (αὐτοῦ om. Cθ) τρ. vulg. – συμμ. θ. – σικύου C. – ἔνδοθεν Cθ. – διπλ. δὲ τοῦ σύκου (τοῦ σ. om. Cθ) τὸ vulg. – πίον F. – πύον DG. – τούτω FGHIJ, Ald. – φύσαι GHIJK. – ταῖς (τῇσιν Cθ) ἀπαυδήσαις (ἀπαυδησάσαις Foes in not., Lind.; ἀπαυδώσαις FGIJK; ἀπαυδήσασιν (sic) C; ἀπαυδώσῃσιν θ) vulg. — [3] φύλλα δὲ sine τὰ C. – λία θ. – καὶ C. – καὶ om. vulg. — [4] καὶ ἡ om. Cθ. – ποίῃ pro ποιέει C. – ἡ om. Cθ. – λινοζῶστις vulg. – λινόζωστις C. – καὶ om. C. – κρεῖττον vulg. – ἄμεινον Cθ. — [5] λ. (λίος θ) ἐν ὕδ. Cθ. – καὶ οὗτος om. Cθ. — [6] ἡ Cθ. – ἡ om. vulg. — [7] ἡ om. H. – ῥιτ. FGIK, Ald. – τὸ ωὐτὸ (αὐτὸ DFGHIJK, Cordæus, Lind.) (τοῦτο C; τωυτὸ θ) vulg. — [8] κύπειρος D. – κύπαιρος θ. – κύπερος vulg. – ἀριστολοχεια (sic) θ. – μελιτι C. – καὶ ταῦτα FGHIJK. – πάντα om. GHJK. – ἐν τῷ αὐτῷ (ταυτῶ θ; τωὐτῶ C) vulg. — [9] γλ. αἵρων ἄλευρον καὶ (καὶ om. C) πύρινον μέλ. φυρήσας ἐν εἰ. προστιθέναι Cθ. – γλ. μετὰ ἀλεύρου αἱρῶν καὶ πυρίνων (πυρρίνων FGHIK; πυρρήνων D) μέλ. φυρηθεὶς ἐν εἰ. προστιθέσθω vulg. — [10] πρόσθ. Cθ. – κατὰ πρῶτα pro κατ. Cordæus. – τὰ

ser de la graisse d'oie, appliquer. Autre pessaire mondificatif, bon pour purger la matrice et évacuer le sang : racine d'absinthe, bien broyer, mêler à du miel et de la graisse d'oie, appliquer (ib.). Autre pessaire mondificatif : bupreste, ôter la tête, les pattes et les ailes, piler le reste, y mêler le dedans de la figue; le gras de la figue sera en quantité double; cette préparation insuffle la matrice; elle est excellente pour les femmes qui ont perdu la parole [par suffocation hystérique]. Ou bien, feuilles de mercuriale, broyer, appliquer en pessaire; elles amènent une purgation ténue et bilieuse. L'armoise aussi agit comme la mercuriale, et elle purge mieux. L'ellébore noir, broyé dans de l'eau, amène, lui aussi, une purgation semblable à de l'eau provenant des viandes. L'alun et la résine produisent le même effet. Cypirus, absinthe, aristoloche, cumin, sel, miel; broyer tout ensemble et appliquer. Ellébore dans du vin doux, farine d'ivraie, farine de blé, pétrir avec du miel, appliquer dans de la laine. Pessaires si les médicaments pris par la bouche n'amènent pas la purgation utérine : mercuriale, myrrhe, giroflée des jardins (*matthiola ircana*), poireau aussi fort que possible, nielle, et, si la femme peut la supporter, menthe, mêler, appliquer. Pessaires âcres, amenant le sang (des Mal. des F., § 32, p. 361) : cinq cantharides, sauf les pattes, les ailes et la tête, myrrhe, encens, mêler le tout avec du miel, puis tremper dans de l'huile de rose ou du parfum égyptien, et appliquer pendant le jour;

πρῶτα pro κατ. Lind. – καθαίρηται FGHIK. – καθαίρει Ald. – λινοζῶστιν vulg. – λινόζωστιν D. – καὶ σμ. C. – σμύρνα θ. – ἢ κρ. θ. – κρόμυον FGIK, Ald. — [11] καὶ om. Cθ. – ἡδίοσμον J. – ὑποφέρει C. – συμμ. vulg. – ξυμμ. DJ. – αἷμα pro ξ. πρ. Cθ. — [12] πρόσθ. Cθ. – προσθετὸν δριμὺ ἄγον αἷμα K. – ἄγειν C. – ἄγει sine αἷμα θ. – ῥεύματα pro αἷμα D (J, ῥεῦμα) Q'. – ποδῶν καὶ τῶν κεφαλῶν καὶ σμ. κ. λ. ἄ. συμμ. vulg. – ποδῶν καὶ πτερῶν καὶ κεφαλῆς ξυμμίσγειν (σ. θ) (addit δὲ θ) σμύρναν (σμύρνα θ) καὶ λιβ. Cθ. – μέλι μετ' αὐτῶν (μετ' α. om. Cθ) vulg. – εἰς CK. – ἄλειφαρ D. – ῥόδιον αἰγύπτιον C. – ἡμέραν vulg. – ἡμέρην CDθ. – ἐπειδὰν Cθ. – δάκνηται vulg. – δάκνη DGHIJθ. – ἀφαιρεῖσθαι θ. – βαπτίζειν vulg. – βάπτειν Cθ. – πάλιν om. (D, restit. al. manu) HIJKθ. – εἰς CJθ. – προστιθέσθω D. – δὲ om. θ. – δὲ τ. om. C. – ἐν (ἐν om. CDIKθ, Ald.) ὕδ. vulg. – καὶ προστιθέναι στέαρ θ.

βάπτειν πάλιν ἐς γάλα γυναικὸς καὶ μύρον αἰγύπτιον, προστίθεσθαι δὲ τοῦτο ἐς νύκτα, καὶ διανίζεσθαι ὕδατι εὐώδει, προστιθέναι δὲ στέαρ. Ἁρμόζοι [1] δ' ἂν βούπρηστις, ἢν μὲν σμικρὴ ᾖ, ἄνευ πτερῶν καὶ ποδῶν καὶ κεφαλῆς· ἢν δὲ μεγάλη, ἥμισυ, μίσγειν δὲ τὰ αὐτὰ ἃ καὶ τῇσι κανθαρίσι, καὶ προστιθέναι ὁμοίως· ἢν δὲ [2] μαλθακωτέρου δέηται, τῇ βουπρήστει μῖξαι οἶνον καὶ κύμινον αἰθιοπικὸν, ἀσταφίδα τε καὶ πάλην σεσέλιος καὶ ἀννήσου, καὶ ἀναζέσαι τὸν οἶνον· ἀποχέας δὲ τρῖψαι [3] λεῖον, καὶ πλάσαι φθοΐσκους ὅσον δραχμιαίους· τούτων προστιθέναι, σμύρναν καὶ λιβανωτὸν μίσγοντα, ποιέειν δὲ τὸν αὐτὸν τρόπον, ὅνπερ ἐπὶ τῇσι κανθαρίσιν. [4] Ἢ τὸ μελάνθιον τὸ ἐκ τῶν πυρῶν τρίβοντα λεῖον ξὺν μέλιτι, ποιέειν οἷον βάλανον· πτερῷ δὲ περίπλασσε. Προσθετὸν ἐνεργόν· ὀπὸν μανδραγόρου καὶ [5] κολοκύντης ἀγρίης ξὺν γάλακτι γυναικείῳ πρόσθες. [6] Ἢ τρύγα ξηρὴν ἐξ οἴνου παλαιοῦ λευκοῦ καίειν, καὶ οἴνῳ σβέσαι. [7] Καὶ κολοκύντη ἀγρίη, λινόζωστις, νίτρον καὶ ἐρύσιμον. Θᾶσσον κατασπᾷ καὶ μανδραγόρου [8] ῥίζα, κανθαρὶς, ἕρπυλος, δάφνης καρπὸς, μύρον ἴρινον, δάφνινον· τιθυμάλου τὸν ὀπὸν μίσγειν, καὶ ἀνακινέειν, καὶ τὸν ἰξὸν ἀφαιρέειν, [9] καὶ διδόναι ὅσον ὄροβον, [10] καὶ προσθετὸν ποιῆσαι ἄριστον· εἰ δὲ πλέον ἴοι, οἴνῳ προσκλυζέσθω. Ἢ [11] ὀπτοῦ χαλκοῦ ἐκδιεὶς, χλιερὸν ἀναλαμβάνειν εἰρίῳ, καὶ προστιθέναι.

ελίξας προσθεῖναι. [1] Ἢ κανθαρίδας τρίψας [2] οἴνῳ τε δεύσας, ἐν εἰρίῳ προστίθει. Ἢ τὴν ἀρτεμισίην ποίην οἴνῳ δεύσας προστίθει. [3] Ἢ μελάνθιον τρίψας ἐν οἴνῳ ἐν εἰρίῳ προστίθει. Ἢ [4] βόλβιον τὸ ἐκ τῶν πυρῶν τρίψας ἐν οἴνῳ τε δεύσας, ἐν εἰρίῳ προστίθει. Ἢ οἴνου παλαιοῦ [5] λευκοῦ τὴν τρύγα κατακαῦσαι, καὶ κατασβέσαι οἴνῳ λευκῷ, καὶ τρῖψαι, καὶ προσθεῖναι ἐν ὀθονίῳ. Ἢ χαλβάνην καὶ νέτωπον καὶ [6] μίσυ ἐν ῥοδίνῳ μύρῳ, ἐν ὀθονίῳ προσθεῖναι. Ἄλλο [7] προσθετόν· ἐλατηρίου δύο πόσιας καὶ κηρίον ἐν οἴνῳ δι' ὀθονίου προστίθει. Ἢ βούτυρον καὶ στυπτηρίην μέλιτι δεύσας [8] ὁμοίως. Ἢ ὀπὸν [9] σκαμμωνίης καὶ στέαρ ἐν μάζῃ ξυμμίξας οἴνῳ τε δεύσας, δι' ὀθονίου προσάγειν. [10] Ποτὰ δυνάμενα χορίον τι κρατηθὲν ἐν τῇ μήτρῃ ἐξαγαγεῖν· κολοκυνθίδος ἀγρίης τρίψας τὸ ἔνδον ἐν γάλακτι γυναικείῳ ἐν ὀθονίῳ προστιθέσθω. [11] Ἐπὶ τοῦ αὐτοῦ· σίλφιον ὅσον κύαμον ἐν οἴνῳ διδόναι πίνειν. [12] Ἕτερον ἐκβόλιον· ὑπὸ τὰς μασχάλας λαβὼν σείειν ἰσχυρῶς. Ποτὰ δὲ διδόναι ἄγνου πέταλα ἐν οἴνῳ· ἢ [13] δίκταμνον κρητικὸν ὅσον ὀβολὸν ἐν ὕδατι τρίβειν καὶ διδόναι· ἢ [14] κονύζης τῆς δυσόσμου ὅσον χεῖρα πλείην διεῖναι πράσου χυλῷ, καὶ νέτωπον, ὅσον χήμην ἀδρήν· ταῦτα ἐν οἴνῳ δοῦναι πιεῖν τρίψαντα λεῖα. Ἢ [15] δᾷδα πιοτάτην ξὺν γλυκεῖ οἴνῳ ἑψεῖν, ἐπιχέας ὅσον τρεῖς κυάθους, καὶ χαλβάνην [16] ὅσον τριώβολον, καὶ σμύρναν, ἑψήσας, ἐπειδὰν παχὺ

[1] Ἄλλο pro ἢ C. – ἄλλο· ἢ θ. — [2] ἐν οἴνω C. – τε om. Cθ. – ἐν εἰρίω θ, Lind. – ἐν εἰ. om. vulg. — [3] ἢ.... προστίθει om. G. – ἢ.... προστίθει l. 4, om. K. – Post οἴνῳ addit δεύσας θ. – προστιθέναι θ. — [4] βολβιὸν (F, al. manu βόλβιον) I. – πυρρῶν FGI. – τε om. Cθ. – ἐν εἰρίω Cθ. – ἐν εἰ. om. vulg. – προσθεῖναι Cθ. — [5] λ. om. K. – Post τρῖψαι addunt ἐν οἴνω Cθ. – πρόσθες θ. — [6] μῖσυ FI. – ἐν ὀθ. om. (D, restit. al. manu) GK. – προσθεῖναι θ – πρ. om. vulg. — [7] πρ. om. CDFHJKθ. – ἐς δύο θ. – ἐν ὀθονίω Cθ. — [8] προστίθει pro ὁμ. Lind. — [9] σκαμων. θ. – συμμ. DHθ. – ἐν οἴνω C. – τε om. Cθ. – ἐν ὀθονίω Cθ. — [10] ἄλλο pro ποτὰ.... ἐξαγαγεῖν CDHJQ'θ. – ποτὰ.... ἐξαγαγεῖν om. I. – ἐπὶ τοῦ αὐτοῦ pro ποτὰ.... ἐξαγαγεῖν Lind. – Pro ποτὰ.... ἢ κονύζης habet κολοκυνθίδος ἀγρίης τρίψας τὸ ἔνδον ἐν γάλακτι γυναικείω, ἐν ὀθονίω προστιθέσθω. Ἐκβόλιον· ὑπὸ τὰς μασχάλας λαβὼν σείειν ἰσχυρῶς. Ποτὰ δυνάμενα χορίον τι κρατηθὲν ἐν τῇ μήτρῃ ἐξαγαγεῖν. Ποτὰ δὲ διδόναι ἄγνου πέταλα ἐν οἴνω σίλφιον ὅσον κύαμον ἐν οἴνω διδόναι πίνειν· ἢ δίκταμνον κρητικὸν ὅσον ὀβολὸν ἐν ὕδατι τρίβειν καὶ διδόναι K. – πρόσθετον χωρίον (χορίον θ) ἐκβάλλει pro προστιθέσθω Cθ. — [11] ἐπὶ τοῦ αὐτοῦ om. F. – πότα pro ἐ. τ. α. Cθ. – ποτὰ δυνάμενα χόριόν τι (τὸ pro τι Lind.) κρατηθὲν ἐν (addunt τῇ HI) μήτρῃ ἐξαγαγεῖν pro ἐ. τ. α. DHI (J, cum ποτὸν ante ποτὰ) Q', Lind. – ὀπὸν σιλφίου Cθ. – ἐν οἴνῳ om. J. – διδόναι om. C. —

rouler dans de la laine, appliquer. Ou bien, cantharides, piler, mouiller avec du vin, appliquer dans de la laine. Ou bien, armoise, mouiller avec du vin, appliquer. Ou bien, nielle, piler dans du vin, appliquer dans de la laine. Ou bien, le bulbe qui croît dans les champs de blé (*muscari comosum*), piler, mouiller avec du vin, appliquer dans de la laine. Ou bien, lie de vin blanc vieux, calciner, éteindre avec du vin blanc, pulvériser, appliquer dans un linge. Ou bien, galbanum, nétopon, misy, mouiller avec de l'huile de rose, appliquer dans un linge. Autre pessaire : deux potions d'élatérion, rayon de miel dans du vin, appliquer dans un linge. Ou bien, beurre, alun, mouiller avec du miel, appliquer semblablement. Ou bien, suc de scammonée, graisse, mêler dans de la pâte d'orge, mouiller avec du vin, appliquer avec un linge. Breuvages pouvant chasser un chorion qui s'est fixé dans la matrice : concombre sauvage, en piler le dedans dans du lait de femme, appliquer dans un linge. Pour le même : silphion gros comme une fève, donner à boire dans du vin. Autre moyen expulsif : prendre la femme par-dessous les aisselles et la secouer fortement. En breuvage, donner les feuilles d'agnus dans du vin ; ou le dictame de Crète, pilé dans de l'eau, à la dose d'une obole ; ou bien, conyza à odeur forte (*erigeron graveolens*), une poignée, mouiller avec de l'eau où des poireaux ont bouilli, nétopon une bonne chême (= 0 litre ,018), bien broyer, et donner le tout à boire dans du vin. Ou bien, faire cuire une branche de pin très-grasse dans du vin doux, trois cyathes, où on a ajouté galbanum trois oboles et myrrhe ; et quand c'est devenu épais par la cuisson, donner à boire tiède. Ou bien, décoction de poireau, myrrhe,

[12] ἐκβ. ἄλλο θ. – ἕ. ἐκβ. om. J. – ἕτ. om. C. – ποτὰ καὶ ἐκβόλιον pro ἕτ. ἐκβ. D. – λαβόντα σίειν θ. — [13] δίκταμον H. – καὶ om. C. — [14] κονίζης D. – δυσόδμου H. – ἡδυόσμου θ. – χειροπληθείην Lind. – πλέην θ. – διῆναι C. – πράσω θ. – χυλοῦ C. – χήμη θ. – χύμην Ald. – ἁδρὴν FI. – διδόναι HK. – λίαν θ. — [15] δᾶδα FGHIK, Ald., Frob., Lind. - δαΐδα Cordæus. – σὺν γλ. ἑψεῖν οἴνου ἐπιχέας; θ. – ἐν οἴνω C. – ἑψεῖν om. C. – τρὶς θ. — [16] ὅσον om. J. – καὶ om. C. – χλιαρὸν θ. – χλιηρὸν vulg.

γένηται, δὸς πιεῖν χλιαρόν. [1] Ἢ πράσου χυλὸν καὶ σμύρναν καὶ οἶνον γλυκὺν ὁμοῦ. Ἢ [2] ἀνδράχνης καρπὸν λέαινε, δίδου δὲ ἐν οἴνῳ λευκῷ παλαιῷ. Ἢ αἰγείρου κρητικῆς κόκκους [3] ἐννέα τρίψας ἐν οἴνῳ πινέτω. Ἢ [4] βατραχίου τοῦ φύλλου καὶ τοῦ ἄνθεος τετριμμένου ὅσον δραχμὴν αἰγιναίην ἐν οἴνῳ πίνειν γλυκεῖ. Ἢν [5] δὲ ἐνέχηται τὸ χορίον, λεβηρίδος ὅσον ὀβολὸν τρίβειν ἐν οἴνῳ καὶ πῖσαι. Ἢ σελίνου ῥίζαν καὶ μύρτα ἑψέτω, πίνειν δὲ ἡμέρας [6] τέσσαρας. Ἢ κύμινον αἰθιοπικὸν, καὶ τὸ καστόριον [7] ὁκόσον ὀβολὸν, καὶ κανθαρίδος σμικρόν· ταῦτα ἐν οἴνῳ διδόναι πίνειν. Ἢ [8] μαράθρου ῥίζαν ἐν οἴνῳ καὶ ἐλαίῳ καὶ μέλιτι ἀναζέσαντα πιπίσκειν. Ἢν τὸ [9] χορίον μὴ ὑποχωρέῃ, κόνυζαν τρίψας ἐν εἰρίῳ πρόσθες, πίνειν δὲ ἄμεινον. Ἢ [10] κονύζης ὅσον χανδάνει χεὶρ, πράσου τε χυλὸν καὶ νέτωπον ξυμμῖξαι ὅσον χηραμύδα, ταῦτα ἐν οἴνῳ πινέτω. [11] Χορίον ἐξάγει, καὶ ἐπιμήνια κατασπᾷ, καὶ ἔμβρυον ἡμίεργον ἕλκει· κανθαρίδας πέντε, ἀποτίλας τὰ πτερὰ καὶ τὰ σκέλεα καὶ τὴν κεφαλὴν, εἶτα τρίβολον [12] τὸ παραθαλάσσιον κόψας ξὺν τῇ ῥίζῃ καὶ τοῖσι φύλλοισιν, ὅσον κόγχην, καὶ τὸ εὐάνθεμον τὸ χλωρὸν τρῖψον ἴσον πλῆθος, καὶ σελίνου σπέρμα, καὶ σηπίης ᾠὰ πεντεκαίδεκα ἐν οἴνῳ γλυκεῖ κεχρημένῳ ταῦτα ὁμοῦ, καὶ ἐπειδὰν ὀδύνη ἔχῃ, πίνειν· καὶ ἐν ὕδατι θερμῷ ἐγκαθιζέσθω, πινέτω δὲ μελίκρητον ὑδαρὲς καὶ γλυκὺν οἶνον λευκόν. Ὕστερον [13] δύναται ἐκβάλλειν· ὁλοκωνίτιδος τῆς γλυκείης ῥίζα, ἔστι δὲ ὡς ὁ βολβὸς, σμικρὸν δὲ ὡς ἐλαίη, ταύτην τρίβειν ἐν οἴνῳ καὶ διδόναι πίνειν· ἢν μὲν ᾖ σμικρὴ, δύο, ἢν δὲ μείζων, μία ἀρκέει· παραμίσγειν δὲ τῶν σπερμάτων κύμινον αἰθιοπικὸν καὶ σέσελι μασσαλιωτικὸν, ἢ φύλλον

[1] Ἢ om. C. – οἶνον om. Cθ. — [2] ἀνδράχλης θ. – λεαίνειν Cθ. — [3] ἐνέα G. – ἐν οἴνω om. D. — [4] βα. βοτάνης (βοτ. om. C) ἐκ (ἐκ om. Cθ) τῶν φύλλων (τοῦ φύλλου Cθ) vulg. – αἰγινέην J. – αἰγιναίαν θ. — [5] δὲ (δ' θ) ἔτι (ἔτι om. Cθ) ἐν. vulg. – χόριον CDJ. – χωρίον H. — [6] τέσσερας θ. — [7] ὅσον θ. – σμικρὸν θ. – μικρὸν vulg. – δὸς πιεῖν θ. — [8] μαράθου CGθ, Ald., Frob., Cordæus. — [9] χόριον CDJ. – χωρίον H. – κόνιζαν D. — [10] κονίζης D. – χανδάνη θ. – πράσσου C. – τε om. Cθ. – συμμ. DHJ. – χηραμίδα DFGHIJK. — [11] χόριον CDJ. – χωρίον Hθ. – δὲ ἐξάγει θ. – καὶ τὸ (τὸ om. CHIJKθ) ἐμβ. vulg. – ἡμιεργὸν DHIJK. – ἐξάγει pro ἕλκει CHθ. – ἀποτείλας FHIK, Ald., Frob., Cordæus, Lind. – ἔπειτα Cθ. — [12] τὸ om. Cθ. – σὺν θ. – Gal. Gl. : εὐάνθεμον, ὅπερ καὶ ἀνθεμὶς λέγεται καὶ χαμαίμηλον. – ἧσσον (sic) pro ἴσον C. – σιπίης FGI, Ald. – ἐπὴν D. – ἡ ὀδύνη θ. – πίνειν pro πινέτω θ. — [13] ἐκβάλλει pro δ. ἐκβ. θ. – ἐκβαλεῖν I. – ὁμοκωνίτιδος CD (F, al manu ὁμοκωνίδος) HIKθ, Ald. – ὁμοκωνίδος

vin doux, boire ensemble. Ou bien, fruit de l'arbousier, piler, donner dans du vin blanc vieux. Ou bien neuf cocons résineux du peuplier de Crète, piler, boire dans du vin. Ou bien, batrachion (*ranunculus asiaticus*), feuilles et fleurs pilées, à la dose d'une drachme d'Egine, boire dans du vin doux. Si le chorion est retenu, vieille peau de serpent, à la dose d'une obole, piler dans du vin et donner à boire. Ou bien, faire cuire racine d'ache et baies de myrte, et boire pendant quatre jours. Ou bien, cumin d'Ethiopie, castoreum une obole, un peu de cantharide, donner à boire dans du vin. Ou bien, racine de fenouil, faire cuire dans du vin, de l'huile et du miel, et donner à boire. Si le chorion ne sort pas, piler de la conyza (*erigeron viscosum*) et appliquer dans de la laine; en donner en boisson est mieux. Ou bien, conyza une poignée, mêler décoction de poireau et nétopon à la dose d'une chéramys (= 0 litre ,018), et boire cela dans du vin. Bon pour expulser le chorion, amener les règles et tirer le fœtus à demi-formé : cinq cantharides, ôter les ailes, les pattes et la tête, puis tribulus marin, piler avec la racine et les feuilles, à la dose d'une conque, évanthème (*anthemis chia*), même quantité, graine d'ache, quinze œufs de sèche, boire cela ensemble dans du vin doux coupé d'eau, quand il y a douleur; la femme prendra un bain de siége chaud, et boira de l'hydromel coupé d'eau et du vin blanc doux. Bon pour expulser le chorion; racine de l'oloconitis douce (*cyperus esculentus*, d'après Fraas), elle est comme le bulbe, mais petite comme une olive, piler dans du vin et donner à boire; si elle est petite, en prendre deux; si elle est grosse, une seule suffit; mêler des graines, cumin d'Ethiopie, séséli de Marseille (*seseli tortuosum*) ou la

G. – ὁμοκονίτιδος J. – Gal. Gl. : ὁλοκωνίτης, βοτάνη τις ἀγρία λαχανώδης. – ἡδίης pro γλ. C (θ, ἰδίης). – ῥίζαν J. – ὡς ὁ (ὁ om. vulg.) β. DGIJ, Frob., Lind. – μικρὸν J. – ἐλαίην D. – σμικρὰ vulg. – μικρὴ θ. – μείζω vulg. – μείζων Cθ. – ἀρκεῖ vulg. – ἀρκέη θ. – σέσελις DH. – μασαλιωτικὸν FIK. – μασαλιωτικὴ (D, al. manu μασσ) H. – μασσαλεωτικὸν C. – μασσαλιότικον (sic) θ. – τὸ ξηρὸν Cθ. – ἡμιχοίνικον vulg. – ἡμιχοινίκιον Cθ. – οἴνου CH. – κοτύλαις θ.

τὸ λιβυκὸν ξηρὸν ἡμιχοινίκιον σὺν οἴνῳ κοτύλῃσι τρισὶν, ἕψειν [1] καὶ ἄγειν ἐς τὸ ἥμισυ, καὶ ἀπὸ τούτου πινέτω. [2] Ἄλλο· λύγου καρπὸν, σεσέλιος ἴσον, σμύρνης, τρίβειν ὁμοῦ, καὶ σὺν ὕδατι διδόναι πίνειν. [3] Ἐκβόλια· ἄγνου λευκῆς νέης ὅσον ὀξύβαφον, ἐν οἴνῳ λευκῷ εὐώδει δὸς πιεῖν, τρίψας λεῖον. Ἕτερον· καστορίου ἢ [4] σαγαπήνου ὀβολὸν, ἀσφάλτου δραχμὴν μίαν, νίτρου δύο, πάντα τρίψας ἐν γλυκεῖ οἴνῳ καὶ ἐλαίῳ ὅσον ἡμικοτύλιον, δὸς πιεῖν νήστει ὀβολοὺς δύο, καὶ λοῦσον θερμῷ καλῶς. Ἄλλο [5] ὁμοίως ἔχον· ἐχίνους θαλασσίους τρεῖς τρίψας ὅλους λείους ἐν οἴνῳ εὐώδει, δὸς πιεῖν. Ἄλλο· μίνθης δεσμίδα [6] σμικρὴν καὶ πηγάνου καὶ κοριάννου, καὶ κέδρου ἢ κυπαρίσσου πρίσματα, ἐν οἴνῳ εὐώδεϊ δὸς πιεῖν· καὶ τῶν ἐχίνων, ἣν ἔχῃ, ῥοφεέτω ἐπὶ τὸ πλεῖστον ὡσαύτως· ἔπειτα λοῦσον θερμῷ. Ἄλλο [7] ὁμοίως· ἄννησον, κεδρίδας, σελίνου καρπὸν, αἰθιοπικὸν κύμινον, σέσελι, ἑκάστου ἥμισυ ὀξυβάφου δὸς ἐκπιεῖν οἴνῳ λευκῷ τρίψας λεῖον. Ἄλλο [8] ὁμοίως· δικτάμνου δεσμίδα καὶ δαύκου καρποῦ δραχμὰς δύο, καὶ μελάνθιον ἴσον, ἐν οἴνῳ λευκῷ, τρίψας λεῖον, δὸς πιεῖν, καὶ λοῦσον θερμῷ πολλῷ· διδόναι δὲ πρὸς τὴν ἰσχὺν τοῦ νοσήματος. Ἄλλο· χαλβάνην ὅσον ἐλαίην [9] τρίψας ἐν κεδρίνῳ ἐλαίῳ προσθέσθω· τοῦτο δύναται διαφθείρειν καὶ ἐκβάλλειν τὸ νωχελές. Ἄλλο ἐκβόλιον [10] ἔγχυτον ὑστερέων· ὅταν σαπῇ νεκρωθὲν ὑπὸ ψύχεος, ὅταν ἄνεμος ψυχρὸς ᾖ, κρόκον τρίψας λεῖον ὅσον ὁλκὴν, ἐν στέατι χηνὸς ἐγχέαι, καὶ ἐᾷν ὡς πλεῖστον χρόνον. Ποτὸν [11] συμβάλλον πρὸς τόδε καλῶς· κόνυζαν τὴν

[1] Καὶ om. C. – καὶ ἀπὸ τοῦδε διδόναι θ. – τοῦδε C. — [2] ἄλλο ἐκβόλιον DQ'. – λυγοῦ I, Ald. – λυτου (sic) καρπὸς θ. – σμύρνη CH. – οἴνου ἐν pro ὁμοῦ καὶ σὺν C. – ἐν pro σὺν θ. – τρίβειν pro πίνειν C. — [3] ἐμβόλια H. – ἐκβόλιον J. – ἄλλο pro ἐκβ. DQ'. – ὀξόβαφον θ. – λίον θ. — [4] σαγαπίνου C. – δραγμὴν FIJ. – νίτρου δραχμὰς δύο θ. – πάντα om. Cθ. – οἴνῳ om. Cθ. – ἐλαίου vulg. – ἐλαίω θ. – ἡμικοτυλίω θ. – νῆστι C. – λοῦε Cθ. – καλῶς om. Cθ. — [5] ὁ. ἔ. om. Cθ. – τρὶς θ. – τρεῖς om. C. – ὡς ἔχει pro ὅλους C. – ὅλους ὡς ἔχει λίους θ. — [6] μικρὴν vulg. – σμικρὴν C. – κοριάνου DHJ, Frob., Cordæus, Lind. – κηρίον ὄνου pro κορ. C. – σπέρμα (πρίσματα θ), ἐν vulg. – εὐώδει vulg. – εὐώδεϊ IJ, Ald. – ῥοφείτω θ. – τῷ πλείστω θ. – τῶν πλείστων C. — [7] ὁμ. om. CJθ. – ἄννησσον θ. – ἄνησον K. – ἄνισον CDHJ. – ὀξοβάφου θ. – ὀξ. om. C. – πιεῖν C. – ἐν οἴνω θ. – λίον θ. — [8] ὁμ. om. CJθ. – δικτάμου DHJ. – δραγμὰς J. – δρ. om. C. – μελάνοτον θ. – λίον δὸς ἐκπιεῖν θ. – δὸς πιεῖν λεῖον C. – θερμῶ καὶ πολλῶ DH. – νουσ. Lind. — [9] τρίψασα θ. – δύναται om. Cθ. – ἐκβάλλει καὶ διαφθειρε ην πιν ωχελες (sic) θ. – ἐκβάλλειν τὸ (ἢ pro τὸ C; ἣν pro τὸ Vatic. Codd. ap. Foes) νοχελές (νωχελές CDFGHIJK, Lind.) vulg. — [10] ἐγ-

feuille sèche de Libye (*graine du silphion*), à la dose d'une demi-chénice, avec trois cotyles de vin, faire cuire et réduire à moitié; la femme boira de cette préparation. Autre : graine de vitex, séséli, quantité égale, myrrhe, piler ensemble et donner à boire avec de l'eau. Expulsifs : vitex blanc frais un oxybaphe, bien broyer et donner à boire dans du vin blanc de bonne odeur. Autre : castoreum ou sagapenum une obole, asphalte une drachme, nitre deux drachmes, piler le tout dans une demi-cotyle de vin doux et d'huile, et faire boire à jeun à la dose de deux oboles; puis bien laver à l'eau chaude. Autre : trois hérissons de mer, les bien piler entiers dans du vin de bonne odeur, et donner à boire. Autre : une petite poignée de menthe, de rue et de coriandre, sciure de cédros (*juniperus oxycedrus*) ou de cyprès, donner à boire dans du vin de bonne odeur; et aussi la femme prendra autant qu'elle pourra d'un potage aux hérissons de mer, s'il y en a; puis elle se lavera à l'eau chaude. Autre, semblable : anis, baies de cédros, graine d'ache, cumin d'Ethiopie, séséli, de chaque un demi-oxybaphe, bien piler et donner à avaler dans du vin blanc. Autre, semblable : une poignée de dictame, deux drachmes de graines de daucus, nielle autant, bien piler et donner à boire dans du vin blanc; la femme se lavera avec beaucoup d'eau chaude; on proportionnera la dose de cette préparation à la force de la maladie. Autre : galbanum gros comme une olive, piler dans de l'huile de cédros, et appliquer; cela peut faire avorter et chasser ce qui tarde à sortir. Autre qui s'administre en infusion pour débarrasser la matrice : quand le fœtus, tué par le froid que produit un vent glacial, se putréfie, bien piler du safran à la dose d'une drachme, dans de la graisse d'oie, infuser dans la matrice et laisser le plus

χύτων FG. – ὑστερέων C. – ὑστέρων vulg. – λεῖον τρίψας J. – λίον θ. – ὅσον δραχμὴν (δρ. om. θ; δραχμῆς H) ὁλκὴν (ὁλκὴν FK; ὁλκῆ DHIJ) vulg. – χην. στέ. Cθ. — [11] σ. π. τ. κ. om. Cθ. – ἡδίοσμον J. – μέλι καὶ ῥητίνην Cθ (Ald., ῥιτ.). – μέλι κ. ῥ. om. vulg. – λίον θ. – εὐώδει vulg. – εὐώδεϊ HIK. – εὐδείη pro εὐώ ῃ θ. – δὸς J. – λούειν vulg. – λοῦε J. – λοῦσαι Cθ.

ἡδύοσμον, μέλι καὶ ῥητίνην τρίψας λείην ἐν οἴνῳ εὐώδεϊ, ἢ ἐν συρμαίῃ, δοῦναι πιεῖν, καὶ λοῦσαι θερμῷ. [1] Ἄλλο ὁμοίως ποτὸν τοῦ παιδίου καὶ τῶν ἐνόντων κακῶν· ἰὸν χαλκοῦ ξυντρίψας ξὺν μέλιτι καὶ συρμαίῃ δὸς πιεῖν. Ἄλλο πρόσθετον ἐκϐόλιον, ἢν ἀποθνήσκῃ· χαλκοῦ ῥινήματα ἐνθεὶς ἐς ὀθόνιον μαλθακὸν πρόσθες πρὸς τὸ στόμα τῶν μητρέων, καὶ ὠφελήσεις. [2] Ἐκϐόλιον προσθετὸν, ἢν ἐναποθνήσκῃ· ὄστρακον νέον, καὶ στέαρ χήνειον τρίψασα προσθέσθω. Ἄλλο [3] προσθετόν· νίτρον ἑψήσας ξὺν ῥητίνῃ καὶ ποιήσας βάλανον, βάπτων ἐς ὄρνιθος στέαρ, προστίθει. Ἄλλο [4] προσθετόν· χάριεν τὸ ἐπονομαζόμενον, τούτου ῥίζαν πρὸς τὸν ὀμφαλὸν πρόσθες μὴ πουλὺν χρόνον. Ἄλλο· ἀγρίην κολοκύντην καὶ μυῶν ἀπόπατον τρίψας [5] λεῖα προστίθει. Ἄλλο [6] ἐπιδετόν· ῥητίνην καὶ στέαρ ὄρνιθος τρίψασα ἅμα καὶ μίξασα ἐπιδησάσθω ἐπὶ τὸν ὀμφαλὸν καὶ τὴν γαστέρα. [7] Ἄλλο προσθετόν· τοῦ κισσοῦ τοῦ λευκοῦ τὸν καρπὸν καὶ κέδρου πρίσμα τρίψασα καὶ βαλάνια ποιήσασα προστιθέσθω. [8] Ἄλλο· χελώνης θαλασσίης τὸν ἐγκέφαλον καὶ αἰγύπτιον κρόκον καὶ ἅλας αἰγύπτιον τρίψας καὶ ξυμμίξας ποιέειν βαλάνους, καὶ προστιθέσθω. Ἐκϐόλιον [9] θυμίημα, δυνάμενον καὶ αἷμα γαστρὸς ἐξελάσαι· ἰτέης φύλλα ἐπὶ πῦρ ἐπιθεὶς θυμιῆν, καὶ περικαθίσας τὴν γυναῖκα ἐῆν ἄχρις ἂν ὁ καπνὸς ἐς τὴν μήτρην ἐνδύνῃ. [10] Περὶ ἰάσιος ἐκτρωσμοῦ· ὅταν ἡ γυνὴ ἐκτρώσῃ καὶ τὸ παιδίον μὴ ἐξίῃ, ἤν τε σαπῇ καὶ οἰδήσῃ, ἢ ἄλλο τι πάθῃ τοιοῦ-

[1] Ἄ. ὁ. π. om. G, Ald. – ἄλλο post ποτὸν D. – ὁμ. om. C. – συντρ. J. – τρίψας θ. – ἐν θ. – σὺν J. – ἐκϐ. ἢν ἀπ. om. CFGHIJθ. – καὶ ὠφ. om. Cθ. — [2] ἐκϐόλιον προσθετὸν ἢν ἐναποθνήσκῃ Cθ (FGHI, ἀποθνήσκῃ) (Q', ἀποθνήσκει). – ἄλλο pro ἐκϐ.... ἐναπ.... Cordæus, Lind. – ἐκϐ.... ἐναποθνήσκῃ om. vulg. – χήνιον Cθ. – τρίψας θ. — [3] πρ. om. J. – λίτρον θ. – σὺν C. – ῥιτ. FGI, Ald. – καὶ om. Cθ. — [4] πρ. om. HIJK. – χάρις θ. – χάριεν (sic) J. – τὸ om. Cθ. – ὄνομα C. – οὔνομα θ. – ἐπωνομαζόμενον D. – τούτου om. Cθ. – ῥίζα θ. – πολὺν θ. — [5] λία θ. – προσθέσθω Cθ. — [6] ἐπιδ. om. FGHJ, Ald. – προσθετὸν pro ἐπ. D. – ὀρν. στέαρ Cθ. – τρίψας vulg. – τρίψασα Cθ. – ἅμα καὶ om. C. – μίξας vulg. – μίξασα Cθ. – ἐπιδησ. om. C. — [7] ἄ. πρ. om. F. – πρ. om. GJ, Ald. – πρίσματα Dθ. – βαλάνεια sine καὶ C. – προσθέσθω θ. — [8] ἄλλο πρόσθετον Cθ. – ἄλλο.... προστιθέσθω om. (DH, restit. al. manu) FGHIJK. – τρίψαι καὶ ξυμμίξαι, ποιέειν δὲ θ. – προσθέσθω θ. — [9] θυμίαμα vulg. – θυμιητὸν θ. – θυμίημα C. – δυνάμενον om. Cθ. - καὶ om. θ. – Ante ἰτέης addit ἄλλο G. – περικαθίσαι θ. – περικαθήσας C. – ἐῆν C. – ἐᾶν vulg. – ἄχρι Cθ. – ἢν pro ἂν C (θ, ἣν). – εἰς J. – εἰσίῃ vulg. – εἰσὶν F. – ἐνδύνη C. – ἐνδύῃ θ. — [10] π. ἰ. ἐκ. om. IK. – Ante περὶ addit ἄλλο D. – ἄλλο pro π. ἰ. ἐκ. IJ. – ἄλλο

longtemps possible. Breuvage très-utile pour le même objet : conyza odorante, miel et résine, bien piler et donner à boire dans du vin odorant ou dans de l'eau du navet employé pour vomir; puis se laver à l'eau chaude. Autre breuvage, pour l'enfant et les lésions intérieures : vert-de-gris, broyer avec du miel et du navet, et donner à boire. Autre expulsif en pessaire, quand l'enfant meurt : limaille de cuivre, mettre dans un linge souple, et appliquer à l'orifice de la matrice, vous en retirerez de l'avantage. Pessaire expulsif, en cas de mort de l'enfant : têt neuf, graisse d'oie, piler et appliquer. Autre pessaire : nitre et résine, faites cuire, formez un gland, trempez dans la graisse de volaille, appliquez. Autre pessaire : l'herbe appelée gracieuse, appliquez-en la racine à l'ombilic pendant un temps qui ne soit pas trop long. Autre : concombre sauvage, excréments de rats, piler bien, appliquer. Autre, qui se porte en sachet : résine, graisse de volaille, piler ensemble, mêler, et attacher sur l'ombilic et le ventre. Autre, en pessaire : baies de lierre blanc, sciure de cédros, broyer, faire des glands, et appliquer. Autre : cervelle de tortue marine, safran d'Égypte, sel d'Égypte, broyer, mêler, faire des glands, et appliquer. Fumigation expulsive, capable aussi de faire sortir du sang hors de la matrice : mettre des feuilles de saule sur le feu et fumiger; on fera asseoir la femme et on la laissera jusqu'à ce que la vapeur entre dans la matrice. Du traitement de l'avortement : quand, une femme se blessant, l'enfant ne sort pas, soit parce qu'il est putréfié et gonflé, soit par quelque autre cause de ce genre, jus de poireau et d'ache exprimé à travers un linge, une cotyle d'huile de rose, un quart de cotyle de graisse d'oie, trois oboles de résine fondue dans de

ἔγχυτον pro π. ἰ. ἐκ. CHθ. – ἢ om. DH. – σαπείη DFGHIJK. – Ante καὶ addit ἥν τε θ. – οἰδήσει H. – εἴτε pro ἢ J. – πάθοι J. – τοῖον Cθ. – διαράμεος, al. manu διὰ ῥάκιος D. – ἀμφοτέρων (ἀμφοτέρω C) ἐπισυνάξας (ἐπ. om. Cθ; ἐπισυνάξαι D), καὶ (καὶ om. θ) κοτύλην ῥοδίνου ἐλαίου (ῥοδ. ἐλ. κοτύλην θ; ῥοδ. ἐλ. καὶ κοτ. C) vulg. – χηνὸς στ. Cθ. – τετάρτη μόρον (sic) θ. – ῥιτ. FGI, Ald. – καὶ ῥητίνης ὀβολ. Cθ. – τρὶς θ. – ὑψηλότερα DFG. – ὑψηλότερον J. – εἰς HJ. – κειμένη om. Cθ. – τέσσερας θ.

τον, πράσα καὶ σέλινα ἐκθλίψας τὸν χυλὸν διὰ ῥάκεος ἀμφοτέρων, ῥοδίνου ἐλαίου κοτύλην, καὶ στέαρ χηνὸς ὅσον τεταρτημόριον, ῥητίνης τε ὀδολοὺς τρεῖς κατατήξας ἐν ἐλαίῳ, καὶ ποιήσας πρὸς ποδῶν ὑψηλοτέρην, ἔγχεον ἐς τὰς μήτρας· καὶ ἐχέτω κειμένη χρόνον ὅτι πλεῖστον· ἔπειτα κάθισον ἡμέρας τέσσαρας, [1] καὶ ἐξέρχεται τὸ ἀποσαπὲν παιδίον· ἢν δὲ μὴ, λαϐὼν ἅλας αἰγυπτίους καὶ κολοκύντην ἀγρίην χλωρὴν, μέλιτι μίξας, τρίψας, δοῦναι καταφαγεῖν, καὶ ἐπὴν φάγῃ, κινεέσθω τῇδε καὶ τῇδε. [2] Ἐκϐόλιον προσθετόν· ἅλας αἰγυπτίους, καὶ μυόχοδα, καὶ ἀγρίην κολοκύντην, [3] καὶ μέλιτος ὅσον τεταρτημόριον ἐπιχεῖν ἡμίεφθον, [4] καὶ λαϐὼν ῥητίνης δραχμὴν μίην ἔμϐαλε ἐς τὸ μέλι καὶ τὴν κολοκύντην καὶ τὰ μυόχοδα, ξυντρίψασα πάντα καλῶς, καὶ ποιήσασα βαλάνους, πρὸς τὴν μήτρην προσθέσθω, ἕως ἂν δοκέῃ καιρὸς εἶναι. [5] Ἕτερον ἐκϐόλιον, ὃ τὸ παιδίον βλητὸν γενόμενον ἐκϐάλλει· ἐλξίνην ἐν οἴνῳ τρίψας πότισον. [6] Ἕτερον ποτὸν ἐκϐολῆς, ὃ τὸ παιδίον ἐκϐάλλει πελιδνόν· τοῦ ἐκτόμου τὰς ῥίζας τρίψας λεπτὰ, τοῖσι τρισὶ δακτύλοισι, καὶ σμύρνης ὅσον κύαμον ἄρας, ἐν οἴνῳ γλυκεῖ πίπισκε. [7] Ἐκϐόλιον· κορίαννον ξὺν τῇ ῥίζῃ καὶ νίτρον καὶ νέτωπον προσθεμένη περιπατείτω. Ἔγχυτον [8] ἐμϐρύου, ἢν ἐναποθάνῃ, ὥστε ἐκϐάλλειν· κρόκον τρίψας ἐπίχεε χηνὸς ἔλαιον, καὶ διηθήσας, ἔγχεε ἐς τὰς μήτρας, καὶ καταλίμπανε ὡς πλεῖστον χρόνον. Ἔμϐρυον ἀκίνητον φθεῖραι [9] καὶ ἐκϐαλεῖν· στυπτηρίης σχιστῆς δραχμὴν μίαν, σμύρνης ἴσον, ἐλλεϐόρου μέλανος τριώϐολον τρίψας λεῖα ἐν οἴνῳ μέλανι, βαλάνια ποιέειν, καὶ προστιθέναι, ἄχρις ἂν κατ' ὀλίγον ἀπολυθῇ. Κλυσμοὶ [10] καθαρτικοὶ μητρέων, ἢν ἐκ τόκου ἐλ-

[1] Ἢν ἐξέρχηται pro καὶ.... παιδίον Cθ. – εἰ pro ἢν Cθ. – κολοκύνθην C. – καὶ (καὶ om. Cθ) τρίψας vulg. – καταφαγεῖν Cθ. – φαγεῖν vulg. – κινήσθω θ. — [2] ἐκϐόλιον προσθετὸν CDFHIJKQ'θ, (Lind., ἐμϐόλιον). — [3] καὶ om. θ. – τετάρτη μόρον θ. – ἐπισχεῖν IK. — [4] καὶ θ. – καὶ om. vulg. – ῥιτ. FGI, Ald. – μίαν θ. – εἰς Cθ. – τὸ μέλι καὶ om C. – συντρ. (ξυντρ. CDHIK) vulg. – συντρίψασα θ. – καλῶς om. θ. – καὶ om. Cθ. – ἐὰν pro ἕως ἂν (D, ἢν) FHIJK. — [5] ἐκϐόλιον ποτὸν sine ἕτερον Cθ. – ὃ τὸ om. Cθ. – παιδίον ἐκϐάλλει βλητόν· ἐλξ. C. – παιδίον ἐκϐάλλειν ὁλόκληρον· ἐλξ. θ. – ἐλξ. Frob. – ἐκπότισον θ. — [6] ἕτ. om. Cθ. – ἐκϐόλιον ποτὸν Cθ. – ἐκϐόλιον Q'. – ἐκϐολῆς om. J. – ὃ τὸ om. Cθ. – πελ. om. DQ'. – τέλειον pro πελ. θ. – ἰοῦ (τοῦ CDFGHIJKθ, Ald., Cordæus, Lind.) ἐκτ. vulg. – Gal. Gl. : ἐκτόμου, ἐλλεϐόρου μέλανος. – λεπτὰς (λεπτὰ θ) καὶ (καὶ om. θ) τοῖσι vulg. – τρισὶ om. C. – ἄρας om. Cθ. – ἐν οἴνῳ λευκῷ καὶ γλυκεῖ DQ', Lind. — [7] ἄλλο pro ἐκϐ. J. – κορίανον DGHJ, Frob., Cordæus, Lind. – κορίανδρον C. – σὺν vulg. – ξὺν CDFHIJK, Lind. – καὶ νί-

l'huile ; alors, ayant fait les pieds plus élevés que la tête, infuser dans la matrice; la femme, couchée, gardera cette infusion le plus longtemps qu'elle pourra; puis elle restera sur son siége pendant quatre jours; après quoi sort l'embryon putréfié; sinon, sel d'Égypte, concombre sauvage vert, mêler avec du miel, broyer et donner à avaler, après avoir avalé, la femme se remuera çà et là. Pessaire expulsif : sel d'Égypte, excréments de rats, concombre sauvage, verser par-dessus un quart de miel demi-cuit, puis, prenant une drachme de résine, la jeter dans le miel, le concombre et les excréments de rats, bien broyer le tout, faire des glands, et appliquer à la matrice, tant que cela paraîtra convenable. Autre expulsif, qui chasse l'enfant frappé d'apoplexie : helxine (*convolvulus arvensis*), piler dans du vin et donner à boire. Autre breuvage expulsif, qui chasse l'enfant devenu livide : racines d'ellébore noir, pilées menu, une pincée, myrrhe gros comme une fève, donner à boire dans du vin doux. Autre, expulsif : coriandre avec la racine, nitre, nétopon, la femme mettra cela en pessaire et marchera. Infusion pour la matrice, propre à chasser le fœtus, s'il est mort : piler du safran, verser de la graisse d'oie, passer, infuser dans la matrice, et l'y laisser aussi longtemps que possible. Pour détruire et chasser le fœtus qui ne fait aucun mouvement : alun fendu une drachme, myrrhe autant, ellébore noir, trois oboles, bien broyer dans du vin noir, faire des glands, et appliquer, jusquà ce qu'ils se dissolvent peu à peu. Injections détersives de la matrice, ul-

τρον θ. – καὶ ν. om. vulg. — [8] ἔμβρυον Jθ. – ἀποθάνη (ἐναποθάνη Cθ) παιδίον (παιδίον om. Cθ), ὥστε vulg. – ἐκβάλλει J. – καὶ ἐπιχέας Cθ. – καὶ διηθήσαντα C. – διιθήσας Ald. – ἐγχέαι Cθ. – εἰς J. – ἐᾶν pro καταλ. Cθ. — [9] καὶ om. J. – ἐκβαλλεῖν (sic) F. – ἐκβάλλειν Jθ. – μίαν om. θ. – λία θ. – βαλάνεια C. – προστιθέναι ἄγχι (ἄγχι om. θ; ἄγχυ D; ἄγχι του sic C), ἄχρις (ἄχρι θ; ἄχρις om. C) ἂν (ἂν om. C; ὅτου pro ἂν θ) κατ' vulg. — [10] καθαρτήριοι Cθ. – ἑλκωθῶσι vulg. – ἑλκεωθέωσιν C. – ἑλκωθέωσιν θ, Lind. – φλεγμήνωσιν HK. – φθεγμασίης (sic) I. – ὀλίνθους H. – ὀλόνθους θ. – ἐπιχέασα καὶ ζέσασα Cθ. – ἀφεῖναι (ἀφῆναι θ) καὶ (καὶ om. θ) κατ. vulg. – χλιηρὸν vulg. – χλιαρὸν θ. – κλεῖσαι vulg. – κλύσαι DFHIK. – κλῦσαι CJθ. – τὰ om. C. – μὲν pro μὴ C. – πλέω (πλείονι Cθ) τούτων (τ. om. Cθ) κλ. vulg.

κωθέωσιν ἢ φλεγμασίης· ὀλύνθους χειμερινοὺς, ὕδωρ ἐπιχέας καὶ ζέσας, ἀφεῖναι, καταστῆναι, εἶτα ἔλαιον ἐπιχέαι χλιαρὸν καὶ μῖξαι, κλύσαι δὲ δύο κοτύλῃσι τὸ πλεῖστον· πάντα δὲ τὰ κλύσματα μὴ πλέονι κλύζειν. Καὶ σιδίοισι καὶ [1] μάννῃ, ἐν οἴνῳ μέλανι αὐστηρῷ ἑψημένῳ, εἶτα ἀποχέας τὸν οἶνον, τούτῳ κλύζε. [2] Ἄλλος κλυσμός· τρύγα οἴνου κατακαύσας τῆξον, καὶ ἐν ὕδατι κλύσον, εἶτα σίδια, μύρτα, σχοῖνον εὐώδεα, φακοὺς ἑψήσας ἐν οἴνῳ, ἀποχέας τὸν οἶνον, κλύζε. [3] Ἄλλος κλυσμός· βούτυρον, λιβανωτὸν, ῥητίνην, μέλιτι τήξας ἐν τῷ αὐτῷ, οἶνόν τε ἐπιχέας, κλύζε χλιαρῷ. Ἢ ἀκτῆς καρπὸν ἑψήσας ἐν ὕδατι, [4] ἀποχέας τὸ ὕδωρ, τρίψας ἐν τῷ αὐτῷ σέλινον, σμύρναν, ἄννησον, λιβανωτὸν, ἐπιχέας οἶνον ὡς εὐωδέστατον ἴσον τῷ ὕδατι, διηθήσας δι' ὀθονίου, χλιήνας, κλύσαι. [5] Ἄλλο· κράμβην, καὶ λινόζωστιν, καὶ λίνου σπέρμα, [6] καὶ χλωρὸν τὸ λίνον ἑψήσας ἐν [7] ὕδατι, ἀπηθήσας, κλύσαι τῷ ὕδατι. [8] Ἢ μυρσίνης τῶν φύλλων ὀξύβαφον, σμύρνης, ἀννήσου, μέλι, ῥητίνην, μύρον αἰγύπτιον, τρίψας πάντα καὶ ἑνώσας, ἐπιχέας οἴνου λευκοῦ ὡς εὐωδεστάτου κοτύλας δύο, διηθήσας, χλιήνας, κλύσον τούτῳ. Ἢ δάφνης καρπὸν καὶ [9] γλήχωνα ἑψήσας ἐν ὕδατι, μύρον τε ῥόδινον ἐπιχέας, τούτῳ κλύζε χλιήνας. Ἢ χηνὸς στέαρ [10] ῥητίνῃ μίξας, ἐπιχέας τε πρὸς τοῦτο οἶνον, καὶ χλιήνας κλύσαι. [11] Ἄλλο· βούτυρον καὶ κέδρινον ἔλαιον ἐν μέλιτι ὀλίγῳ χλιήνας, ξυμμίξας, κλύσαι. Ἢ μέλι, βούτυρον, [12] σχοῖνον, κάλαμον εὐώδεα, βρύον θαλάσσιον ἑψῆσαι ἐν οἴνῳ, εἶτα ἀπηθῆσαι, καὶ οὕτω κλύσαι. Ἢ [13] σελίνου καρπὸν, σέσελι, σμύρναν, ἄννησον, μελάνθιον ἐν

[1] Μάνη (D, emend. al. manu) FGHIJ. – ἡψημ. C. — [2] ἄλλος χυμὸς F. – ἄ. κ. om. G. – ἄλλος om. C. – τῆξαι CJKθ. – τῆξε (F, al. manu τῆξον) HI. – καὶ om. Cθ. – Post ὕδ. addunt τούτω Cθ. – κλύσαι CD (F, al. manu κλύσον) HIK. – κλῦσαι Jθ. – ὕστερον δὲ pro εἶτα Cθ. – σχίνον DH. – σχῖνον K. – ἐν οἴνω ἑψ. K. – κλύσαι C. – κλῦσαι θ. — [3] ἄ. κ. om. FG. – κλ. ἄλ. D. – ἄλ. om. C. – κλ. om. J. – ῥιτ. FGI, Ald. – μέλι θ. – μέλιτι vulg. – μίξας pro τήξας C. – τε om. Cθ. – χλιηρῷ vulg. – χλιαρῶ θ. — [4] καὶ ἀποχ. Cθ. – ἄνησον K. – ἄνισον CDHJ. – ἐπιχέας τε καὶ (τε καὶ om. Cθ) (καὶ om. J) οἶνον vulg. – εὐώδεα vulg. – εὐώδη DFGHIJK. – εὐωδέστατον θ. – διιθησας G, Ald. – τε (τε om. Cθ) δι' vulg. — [5] ἄλλος θ. – ἄλλο om. FG. – ἄλλος κλυσμὸς DHIJKQ', Lind. – λινοζῶστιν vulg. – λινόζωστιν DFθ. — [6] καὶ om. HK. – λίον, al. manu λίνον F. – λῖνον CGK, Ald. — [7] Post ὕδ. addunt τε DHIJK. — [8] ἢ θ. – ἢ om. vulg. – ἀνίσου CDHJ. – ἀννήσσου I. – ἀνήσου K. – ῥιτ. FGI, Ald. – καὶ μύρον J. – ἐν τῶ αὐτῶ pro καὶ ἑνώσας C (θ, ταυτῶ). – ἐπιχέας τε καὶ (τε καὶ om. Cθ) οἴνου vulg. – διιθήσας Ald. – καῦσον CHIJK, Ald. – αὐτῇ vulg. – τούτω θ. —

cérée à la suite de l'accouchement ou d'une phlegmasie : figues non mûres d'hiver, verser de l'eau, faire bouillir, passer, laisser reposer, puis verser de l'huile tiède et mêler; l'injection sera de deux cotyles au plus. Aucune injection ne doit dépasser cette quantité. Faites cuire des écorces sèches de grenade et de la manne dans du vin noir astringent, décantez, et injectez ce vin. Autre injection : lie de vin calcinée, dissolvez, et faites l'injection avec l'eau; puis faites cuire écorces sèches de grenade, baies de myrte, jonc odorant, lentilles dans du vin, décantez, et injectez le vin. Autre injection : beurre, encens, résine, miel, faire fondre ensemble, verser du vin, et injecter tiède. Ou bien baies de sureau, faire cuire dans l'eau, décanter, piler ensemble ache, myrrhe, anis, encens, verser du vin très-odorant autant qu'on avait fait d'eau, passer au travers d'un linge, faire tiédir, injecter. Autre : chou, mercuriale, graine de lin, lin vert, cuire dans l'eau, passer, injecter. Autre : feuille de myrte un oxybaphe, myrrhe, anis, miel, résine, parfum d'Égypte, piler et incorporer, verser deux cotyles de vin blanc très-odorant, passer, faire tiédir, injecter. Autre : baies de laurier, pouliot, faire cuire dans l'eau, verser de l'huile de rose, faire tiédir, injecter. Autre : graisse d'oie, résine, mêler, verser du vin, faire tiédir, injecter. Autre : beurre, huile de cédros, un peu de miel, faire tiédir, mélanger, injecter. Autre : miel, beurre, jonc, calamus odorant, fucus marin (*zostera marina*), faire cuire dans du vin, passer, injecter. Autre : graine d'ache, séséli, myr-

[9] γλίχ. HJ. – τε om. Cθ. – οὕτω pro τούτω DQ', Lind. – χλιάνας FGIJ. — [10] τῇ (τῇ om. Cθ) ῥητ. (ῥιτ. FGI, Ald.) vulg. – μίξας ἐς τωυτὸ ἐπιχέας οἶνον Cθ. – χλιάνας FGIJ. — [11] ἄλλος θ. – ἄλλο om. FG. – κλυσμὸς ἄλλος DQ', Lind. – ἄλλος κλυσμὸς HIJK. – Ante ἐν addit ἅμα J. – ἐν om. Cθ. – χλιήνας κλύσον (κλ. om. θ; κλύσαι CDFIJK; καῦσον G) αὐτῷ ἢ δάφνης καρπὸν (ξυμμίξας κλύσαι pro αὐτῷ ἢ δ. κ. C, θ συμμ.; αὐτῷ ἢ δ. κ. om. DFHIJK), ἢ (ἢ om. Lind.) βαλεῖν (βαλεῖν om. Cθ; λαβὼν Lind.) μέλι vulg. — [12] σχίνον DH. – σχῖνον K. – καὶ κάλαμον θ. – βρύων θ. – καὶ (καὶ om. Cθ) ἑψῆσαι (ἑψεῖν Cθ) vulg. – εἶτα om. Cθ. – ἀπηθήσας Cθ. – καὶ om. Cθ. – τούτω pro οὕτω CDHIJK. – κλύζε C. – κλῦζε θ. — [13] σεσελιὸς vulg. – σέσελι θ. – ἄνισον CHJ. – ἄνησον K.

οἴνῳ, ἀπηθήσας τὸν οἶνον, κλύσαι. Ἢ κέδρον ἑψήσας ἐν οἴνῳ, κλύσαι τῷ οἴνῳ. Ἢ [1] κισσὸν ἑψήσας ἐν ὕδατι, κλύσαι τῷ ὕδατι. Ἢ ἐλατήριον, [2] ἢ κέστρον δύο πόσιας, ἑψεῖν ἐν ὕδατι ὅσον δύο κοτύλῃσι, καὶ κλύσαι χλιαρῷ. Ἢ [3] σικύης ἐντεριώνην ὅσον διδάκτυλον ἑψήσας ἐν κοτύλῃσι δύο ὕδατος, ἐπὶ τὸ ὕδωρ ἐπιχέας μέλι καὶ ἔλαιον, τούτῳ κλύσαι. Ἢ θαψίης ῥίζης ὅσον δύο πόσιας τρίψας [4] λεῖον, ἐπιχέας τε μέλι καὶ ἔλαιον, διεὶς ὕδατι χλιαρῷ ὅσον δυσὶ κοτύλῃσι, κλύσαι. Ἢ ἐλλεβόρου μέλανος, ὅσον δύο πόσιας διεὶς οἴνῳ γλυκεῖ καὶ ὕδατι, κλύζειν. Ἢ κόκκους [5] κνιδίους ὅσον ἑξήκοντα τρίψας λείους, ἐπιχέας τε μέλι καὶ ἔλαιον καὶ ὕδωρ, κλύσαι. Κλυσμὸς [6] κρατυντήριος, ἢν ἕλκεα ᾖ καθαρά· ὀλύνθους χειμερινοὺς τρίβειν, καὶ ἐπιχέειν ὕδωρ, βρέξον δὲ ὅλην ἡμέρην, καὶ ἔλαιον ἐπίχεε, καὶ κλύσαι. Ἢ σιδίοισι καὶ λωτοῦ [7] πρίσμασιν, ἐν οἴνῳ δὲ μέλανι ἑψεῖν. Ὅταν [8] δὲ ἀκάθαρτα φέρηται, τρύγα καίειν, καὶ οἴνῳ καὶ ὕδατι κλύζειν. Ἢ σιδίῳ, ῥόῳ βυρσοδεψικῇ, μυρσίνης φύλλοισι [9] καὶ βάτου, ἐν οἴνῳ μέλανι ἑψεῖν, καὶ κλύζειν. [10] Κλύσματα πρὸς τὰ παλαιὰ ἕλκεα· χυλῷ κράμβης ἑψημένης κλύζειν· καὶ λινόζωστιν ὁμοίως· καὶ [11] νίτρον παράμισγε ἐρυθρὸν ὀλίγον. Σμύρνης [12] ὀξύβαφον, λιβανωτὸν, σέσελι, ἄννησον, σελίνου σπέρμα, νέτωπον, ῥητίνην, μέλι, χήνειον στέαρ, ὄξος [13] τὸ λευκὸν, μύρον τὸ λευκὸν αἰγύπτιον, ἐν τωὐτῷ τρίβειν ἴσον ἑκάστου λεῖα, εἶτα οἴνῳ διεὶς λευκῷ κοτύλῃσι δυσὶ, χλιηρῶς κλύζειν. [14] Ἢ λινόζωστιν

[1] Κισθὸν θ. – ὁμοίως pro ἑψ. θ. – ὅμου pro ἑψ. C. – ἐν ὕδ. κλ. om. J. – τούτω pro τῷ ὕδ. Cθ. – τοιούτω pro ὕδατι H. — [2] ἢ κ. om., restit. al. manu D. – ὁκόσον pro ἢ κ. CHθ. – Post δύο addit ἅμα J. – καὶ (καὶ om. Cθ) ὅσον δύο κοτυλῶν (κοτύλων F; κοτύλησι C) (addit καὶ θ) κλ. χλιηρῶς (χλιηρῶ H; χλιαρῶ θ) vulg. — [3] συκίης D. – ἐντεριώνην DCθ. – ἐντεριόνην H. – ἐντεριώνης vulg. – δάκτυλον vulg. – διδάκτυλον θ. – ἐν ὕδ. κοτ. δύο C (θ, δύο κοτ.). – δύο.... κοτύλησι om. J. — [4] λίον θ. – τε om. Cθ. – καὶ om. θ. – χλιηρῷ vulg. – χλιαρῶ θ. – δισὶ (sic) K. – κοτ. δυσὶ C. — [5] κνηδίους HIK. – λίους θ. – τε om. Cθ. – Ante μέλι addit καὶ J. – μέλι ἔλαιον ὕδωρ Cθ. — [6] κρατύντηρος H. – κρατυντήριος I. – κραντύντηρος K. – ἕλκη vulg. – ἕλκεα CDFIJKQ', Cordæus, Lind. – καθ. om. D. – ὀλίνθους H. – ὀλόνθους θ. – ἐπίχεε C. – ἐπιχέαι θ. – δ' θ. – ὅλην om. Cθ. – ἡμέραν vulg. – ἡμέρα H. – τὴν ἡμέραν Q'. – ἡμέρην Cθ, Lind. – καὶ ponit post ἔλαιον J. – ἐπιχέαι Cθ. — [7] πρήσμασιν θ. – δὲ C. – δὲ om. vulg. — [8] δὲ (δὲ om. θ) ἀκ. ᾖ καὶ (ᾖ καὶ om. θ) φέρηται vulg. – καὶ C, Lind. – καὶ om. vulg. – καὶ τῷ ὕδ. Cθ. — [9] καὶ om. Cθ. — [10] κλ. om. Cθ. – τὰ om. D. – ἕλκη (ἕλ. om. θ) vulg. – ἕλκεα CD, Cordæus, Lind. – χηλῶ F, Ald. – λινοζῶστιν vulg. – λινόζωστιν Dθ. — [11] λίτρον θ. – ὀλίγον ἐρυθρὸν θ.

rhe, anis, nielle, dans du vin, passer le vin, injecter. Autre : cédros, faire bouillir dans du vin, injecter le vin. Autre : lierre, faire bouillir dans de l'eau, injecter l'eau. Autre : élatérion ou cestron (*sideritis syriaca*, d'après Fraas), deux potions, faire bouillir dans deux cotyles d'eau, injecter tiède. Autre : le dedans d'une courge, long de deux doigts, faire bouillir dans deux cotyles d'eau, verser dans l'eau du miel et de l'huile, et injecter. Autre : racine de thapsie, deux potions, bien piler, verser du miel et de l'huile, délayer avec deux cotyles d'eau tiède, et injecter. Autre : ellébore noir, deux potions, délayer avec du vin doux et de l'eau, et injecter. Autre : soixante grains de Cnide (*baies du Daphné gnidium*), bien piler, verser du miel, de l'huile et de l'eau, et injecter. Injection fortifiante, si les ulcérations sont mondifiées : figues non mûres d'hiver, piler, verser de l'eau, laisser macérer pendant un jour, ajouter de l'huile, et injecter. Autre : écorces sèches de grenade et sciure de lotus, faire bouillir dans du vin noir. Quand les ulcérations fournissent une humeur impure, calciner de la lie, injecter avec du vin et de l'eau. Autre : écorce sèche de grenade, sumac à corroyeur, feuilles de myrte et de ronce, faire bouillir dans du vin noir, et injecter. Injections pour les vieilles ulcérations : injecter de l'eau où du chou a bouilli ; de la mercuriale semblablement ; et mêlez un peu de nitre rouge. Myrrhe un oxybaphe, encens, séséli, anis, graine d'ache, nétopon, résine, miel, graisse d'oie, vinaigre blanc, parfum blanc d'Égypte, de chaque partie égale, bien broyer le tout ensemble, puis délayer avec deux cotyles de vin blanc, et injecter tiède. Autre : mercuriale, faire bouillir dans l'eau, et passer.

— [12] ὀξόβαφον θ. – ἄνισον CDHJ. – ἄνησον K. – ῥιτ. FGI, Ald. – χήνιον Cθ. — [13] τὸ om. DGIJ. – αἰγύπτιον, ταῦτα πάντα ὅμου τρίβειν (addunt λεῖα GHIK), εἶτα οἴνῳ vulg. – αἰγ. ταῦτα ἐν τωυτῶ πάντα τρίβειν ὅσον ἑκάστου λεῖα οἴνω C. – αἰγ. ἐν τῶ αὐτῶ ἶσον ἑκάστου λία οἴνω θ. – κοτ. δυσὶ χλ. om. θ. – χλιηρῶ CH. — [14] ἢ.... κλύζειν om. J. – λινόζωστιν Dθ. – λινοζῶστιν vulg. – ἐν ὕδ. ἑψεῖν καὶ ἀφηθεῖν θ. – ἕψε καὶ ἄπιθι (sic) σμύρνης C. – ὀξόβαφον θ. – σέσ. om. (D, restit. al. manu) HIKθ. – σέσ., νέτ. om. C. – Post ἑκάστου addit ἐν ταυτῶ θ. – χλιηρῶς vulg. – ἐν τῶ χλιηρῶ C. – χλιαρῶ θ. – χλιηρῶ H.

ἕψειν ἐν ὕδατι καὶ ἀπηθεῖν. Ἢ σμύρνης ὀξύβαφον, λιβανωτὸν, σέσελι, νέτωπον, ἴσον ἑκάστου, χλιαρῷ κλύζειν. Ἢ ἐλελίσφακον καὶ [1] ὑπερικὸν, ἐν ὕδατι ἑψήσας, κλύζειν τῷ ὕδατι. Ἢ ἀκτῆς καρπὸν [2] καὶ δαφνίδας ἑκατέρων ἐξ ἴσου ἕψε ἐν οἴνῳ, εἶτα τῷ οἴνῳ κλύζε. Ἢ [3] γλήχωνος τῷ ὕδατι κλύσον. Ἢ χηνὸς ἔλαιον [4] ἐν ῥητίνῃ τήξας, ὁμοίως κέδρινον ἔλαιον παραχέας ὀλίγον καὶ μέλιτι διατήξας, κλύζειν χλιερῷ. [5] Ἢ ἀργύρου ἄνθος ἐν οἴνῳ καὶ μέλιτι καὶ κηρῷ τηκτῷ, [6] καὶ κύπειρον [7] καὶ σχοῖνον καὶ κάλαμον, ἅτινα δὴ ἐς μύρον μίσγεται, [8] καὶ ἶριν, βρύον, ἐν οἴνῳ ἑψῶν, κλύζειν. Ἢ σελίνου καρπὸν, [9] ἄννησον, σέσελι, σμύρναν, μελάνθιον ἐν οἴνῳ ἑψῆσαι, [10] ἢ κέδρον κρητικὴν ἐν οἴνῳ ἑψεῖν, καὶ κλύζειν· ἢ κισσὸν κρητικὸν ἐν ὕδατι, ταὐτὸ δρᾷ. Ἢ ἐχέτρωσιν καὶ σμύρναν διεὶς ἐν ὕδατι κλύσαι. [11] Ἢ ἐλατηρίου ὅσον δύο πόσιας ἐν ὕδατι κλύσαι. Ἢ [12] κολοκυνθίδας ἀγρίας δύο ἐν οἴνῳ ἢ ἐν γάλακτι ἑφθῷ ἀποβρέξας ὅσον τέσσαρας κοτύλας, καὶ ἀπηθέειν, καὶ κλύζειν. Ἢ [13] σικύης ἐντεριώνην ὅσον παλαιστὴν ἑψήσας ἐν ὕδατι κοτύλῃσι τέσσαρσι, μέλι τε καὶ ἔλαιον ἐπιχέαντα ἐνεργεῖν. Ἢ τῆς [14] θαψίης ῥίζης ὅσον δύο πόσιας ἐν οἴνῳ γλυκεῖ διεὶς σὺν ὕδατος κοτύλῃσι δύο, κλύσαι χλιαρῷ. Ἢ [15] ἐλλέβορον ὅσον δύο πόσιας ἐν οἴνῳ γλυκεῖ διεὶς ὡσεὶ δύο κοτύλῃσιν, ἢ θλάσπιος ὅσον ὀξύβαφον μέλιτι παραμίξας, ὕδατι διεὶς ὅσον δύο κοτύλῃσι, χρῶ χλιερῷ. Ἢ [16] σικύης ὅσον παλαιστὴν, καὶ κνεώρου ὅσον μίαν πόσιν ἑψήσας ὕδατος κοτύλῃσι πέντε, μέλι παραχέας καὶ ἔλαιον κλύσαι.

[1] Ὑποριкὸν θ. – τῷ ὕδ. κλύζειν Cθ. — [2] καὶ om. Cθ. – δαφνίδος C. – ἑκατέρου τὸ ἴσον ἐν οἴνῳ ἕψε Cθ. – τούτῳ pro τῷ οἴνῳ Cθ. – τοιούτῳ pro οἴνῳ H. — [3] γλίχ. HJ. – κλύσαι J. — [4] ἐν om. Cθ. – ῥητίνην θ. – ῥιτ. FGI, Ald. – ξυντήξας C. – συντήξας θ. – παραμίξας pro παραχέας Cθ. – ὀλίγον om. G. – μέλι θ. – διατῆξαι ταῦτα κλύζειν χλιερῷ θ. – διατήξας ταῦτα, κλύζειν δὲ χληρῷ C. – χληρῶς vulg. – χληρῷ H. — [5] ἢ om. C. – ἐν οἴνῳ μέλανι ἢ μέλι καὶ τυρὸν τηκτὸν θ. – ἢ μέλιτι C. – κηρὸν C. – τηκτὸν vulg. – τηκτῷ DFGHIJK. — [6] ἢ pro καὶ θ. – κύπειρον D. – κύπερον vulg. – κύπαιρον θ. — [7] ἢ pro καὶ θ. – σχῖνον FGKθ, Ald. – σχίνον CDHI. – Post κάλ. addit κλύζειν J. – ἃ Cθ. – δὴ καὶ (καὶ om. Cθ) ἐς vulg. — [8] καὶ om. Cθ. – σισίμβριον pro ἶριν, βρύον Lind. — [9] ἄνισον CDHJ. – ἄνησον K. – ἑψῶν D. – ἕψον Q'. – Post ἑψῆσαι addit ἢ ὕδατι Lind. — [10] ἢ κέδρον κρητικὴν καὶ κισσὸν κρητικὸν ἐν οἴνῳ ἢ ὕδατι ἑψεῖν, καὶ κλύζειν. Ἢ ἐχέτρωσιν καὶ σμύρναν Lind. – καὶ κλύζειν ἐν ὕδατι (ἐν ὕδ. om. θ)· καὶ (καὶ om. C; ἢ pro καὶ θ) vulg. – κίσθον κρητικὴν θ. – ταῦτα (ταυτῷ θ) δρᾷν (δρᾶ θ), εἰ (εἰς C; εἰ om. θ) ἔχει (ἔχοι D) τρῶσιν

Autre : myrrhe un oxybaphe, encens, séséli, nétopon, de chaque partie égale, injecter tiède. Autre : sauge, hypéricon, faire bouillir dans de l'eau, injecter l'eau. Autre : baies de sureau et de laurier, de chaque partie égale, faire bouillir dans du vin, injecter le vin. Autre : pouliot, décoction, injecter. Autre : graisse d'oie, faire fondre dans de la résine, semblablement verser un peu d'huile de cédros, délayer avec du miel, injecter tiède. Autre : fleur d'argent dans du vin, du miel et de la cire fondue, et cypérus, jonc odorant, calamus, lesquels se mêlent aux parfums, et iris, bryon, faire bouillir dans du vin et injecter. Autre : graine d'ache, anis, séséli, myrrhe, nielle, faire bouillir dans du vin. Autre : cédros de Crète, faire bouillir dans du vin, et injecter. Autre : lierre de Crète, dans de l'eau; l'action en est la même. Autre : échétrosis (*bryonia alba*) et myrrhe, délayer dans l'eau, injecter. Autre : élatérion, deux potions, dans de l'eau, injecter. Autre : deux concombres sauvages, laisser macérer dans quatre cotyles de vin ou de lait cuit, passer, injecter. Autre : le dedans d'une courge, un palme (*quatre doigts*), faire bouillir dans quatre cotyles d'eau, ajouter miel et huile, et opérer. Autre : racine de thapsie, deux potions, délayer dans du vin doux avec deux cotyles d'eau, injecter tiède. Autre : ellébore, deux potions, délayer dans du vin doux, deux cotyles. Autres : thlaspi (*capsella bursa pastoris*) un oxybaphe, mêler du miel, délayer dans deux cotyles d'eau, employer tiède. Autre : courge un palme, cnéoron (*daphne tartonraira*) une potion, faire

(χέτρωσιν sic pro ἔχει τρ. C; ἐχέτρωσι sic θ) καὶ σμύρναν vulg. – Je lis ταὐτό. – Gal. Gl. : ἐχέτρωσις, ἡ λευκὴ βρυωνία. — [11] ἢ.... κλύσαι om. G. – ἐλατήριον IJθ. – ἐν om. θ. — [12] χολοκυντίδας FIJK, Ald., Frob., Cordæus, Lind. – χολοκυνθίδος ἀγρίης DH. – τέσσερας θ. – ἀπηθεῖν θ. — [13] συκίης D. – ἐντεριόνην (D, emend. al. manu) H. – κοτύλαις τέσσερσι θ. – τε καὶ om. Cθ. – ἐπιχέοντα C. — [14] ψαθείης J. – πόσηας C. – καὶ μέλι καὶ ἔλαιον διεὶς ὕδατος pro ἐν.... ὕδατος Cθ. – ξὺν Lind. – δυσὶ θ. – χλιηρῶς vulg. – χλιαρῶ θ. – χλιηρῶ CH. – χλιαρῶς J. — [15] ἐλλεβόρου Cθ. – διεὶς γλυκεῖ θ. – ὡς Cθ. – ὀξόβαφον, μέλι παραχέας θ. – κοτύλοισι I. – χρῶ om. Cθ. – χλιηρῷ vulg. – χλιερῶ θ. — [16] συκίης D. – καὶ om. θ. – ἐκ κνεωροῦ pro καὶ κν. C. – μίαν om. Cθ. – ἐν ὕδατος Cθ. – μέλι ἔλαιον παραμίξας κλύσαι Cθ.

Ἢ κόκκους [1] κνιδίους ὅσον ἑξήκοντα, μέλι, ἔλαιον ὕδατι διεὶς, κλύσαι. Ἢν ἐκ τόκου [2] διαῤῥοίη ληφθῇ, πινέτω ἀσταφίδα μέλαιναν, καὶ σίδια γλυκείης ῥοιῆς τὸ ἔνδοθεν, καὶ πιτύην ἐρίφου, ταῦτα διεὶς οἴνῳ μέλανι, καὶ τυρὸν αἴγειον καὶ ἄλφιτα πύρινα ἐπιπάσσειν, καὶ διδόναι πίνειν· τοὺς πυροὺς δὲ ἐπ' ὀλίγον φῶξαι. Ἢν [3] δὲ ἐκ τόκου αἷμα ἐμέῃ, ταύτῃ ἡ σύριγξ τοῦ ἥπατος τέτρωται· αὕτη πινέτω γάλα ὄνου, ἔπειτα βοὸς, εἰ εὐμαρὲς, τεσσαράκοντα ἡμέρας, καὶ σήσαμον τριπτὸν, ἄχρις ἂν εὖ ἔχῃ· πινέτω τὸ γάλα νῆστις. Ἢν [4] ἐκ τόκου τὴν ἕδρην ἀλγέῃ, ἀρκεύθου καρπὸν, λίνου ῥίζαν ἑψεῖν, καὶ πίνειν ἡμέρας τέσσαρας· καὶ θρίδακος σπέρμα τρίψας σὺν χηνείῳ ἀλείφατι ἐσθίειν. Ἢν [5] δὲ ἐκ τόκου αἱ μῆτραι φλεγμήνωσιν, στρύχνου χυλὸν ἐγχέειν ἢ τεύτλου ἢ ῥάμνου. Ἢν [6] ἐκ τόκου τὸ σκέλος ὑπὸ ὑστερέων χωλωθῇ, ἀνίστασθαι δὲ μὴ δύνηται· πίνειν ὑοσκυάμου καρπὸν ὅσον χηραμίδα ἐν οἴνῳ μέλανι ἡμέρας τρεῖς· παραφέρεται δὲ ὁ πίνων· λύσις, γάλακτος ὀνείου πῖσαι ὅσον κύλικα, ἔπειτα τοῦ φαρμάκου, ὑφ' οὗ τὸ φλέγμα καθαίρεται· σανδαράκῃ δὲ [7] καὶ κηρωτῇ [8] καὶ λαγωοῦ θριξὶ θυμιήσθω τρεῖς ἡμέρας. [9] Περὶ φλεγμονῆς ἐκ τόκου· ἢν ἐκ τόκου φλεγμήνωσιν αἱ ὑστέραι, στρύχνου χυλὸν ἐγχέαι αἰδοίων ἔσω, ἢ σελίνου, ἢ ῥάμνου, ἢ τεύτλου, ἢ κολοκύντης χυλὸν ἐκπιέσας ἐγχέαι· [10] ἢ αὐτῆς τὸ μέσον καὶ ἁπαλώτατον περιξέσας μακρὸν ἔνθες. Ἢ [11] ἀψινθίου ἐν ὕδατι τρίβειν, εἰρίῳ δὲ ἀνασπογγίζειν, ἢν δὲ φρίξῃ,

[1] Κνηδίους K. – ἑξ. εἰς (εἰς om. Cθ; ἐς D) μ. ἢ εἰς (ἢ εἰς om. Cθ) ἔλ. σὺν (σὺν om. Cθ; ξὺν Lind.) ὕδ. vulg. — [2] διαρροία λειφθῇ D. – ῥοῆς τὸ ἔνδον θ. – πητύην K. – πυτίην θ. – Post αἴγειον addit ἐπιξύσας θ. – πύῤῥινα FGHIK. – ἐπιπλάσσειν vulg. – ἐπιπάσσειν Foes in not., Lind. – δίδου ποιεῖν C (θ, πιεῖν). – πυῤῥοὺς FGHIK. — [3] δ' D. – δὲ om. Cθ. – ἐμῇ θ. – αὕτη om. Cθ. – εἰ θ, Vatic. Codd. ap. Foes in not. – εἰ om. vulg. – εὐμαρὲς om. (D, restit. al. manu) FGHIJK. – μελαίνης pro εὐμαρὲς legit Cornarius. – τεσσεράκοντα θ. – τριπτὴν θ. – ἄχρι θ. – εὖ om. θ. — [4] δὲ ἐκ DH, Lind. – καὶ λίνον θ. – ῥίζας CDFHIJ. – τέσσερας θ. – τρίψασα θ. – ξὺν Lind. – ἐν χηνίω Cθ. – ἄλιφά τι θ. — [5] δὲ om. Cθ. – σεύτλου θ. — [6] δ' ἐκ θ. – ἀπὸ θ. – μὴ om. θ. – υοσκυλμου (sic) θ. – ὑοσκιάμου J. – καρποῦ Cθ. – Gal. Gl. : κυάμου καρπὸν, ὁ μὲν Διοσκουρίδης ὑοσκυάμου φησὶ λέγειν αὐτὸν οὕτως ἐν τῷ πρώτῳ τῶν γυναικείων, ἔνιοι δὲ τοῦ αἰγυπτίου ἀκούουσιν. Sans doute il y avait ici, dans les anciens exemplaires, non ὑοσκυάμου. mais κυάμου. – χηραμύδα FIθ. – τρεῖς (τρὶς θ) ἡμέρας Cθ. – [εἰ] δὲ παραφέρεται ἡ πίνουσα Lind. – δ' ὁ θ. – πιὼν C. – ὀνίου πεῖσαι θ. – τὸ om. θ. — [7] καὶ om. K. — [8] καὶ om. C. – θυμιείσθω K. – θυμιάσθω τρὶς ἡμ. θ. — [9] π. φλ. ἐκ τ. om. Cθ. – ἐς τὰ αἰδοῖα pro αἰδ. ἔσω Cθ.

bouillir dans cinq cotyles d'eau, ajouter du miel et de l'huile, injecter. Autre : grains de Cnide, soixante, miel, huile, délayer avec de l'eau, injecter. Si après l'accouchement la diarrhée survient, raisin noir sec, le dedans de l'écorce sèche de la grenade douce, présure de chevreau, délayer le tout dans du vin noir, saupoudrer avec du fromage de chèvre et de la farine de froment, et faire boire; le froment doit avoir été un peu grillé. Si après l'accouchement il y a hématémèse, le conduit du foie est blessé : la femme boira du lait d'ânesse, puis du lait de vache, si cela se peut, pendant quarante jours, et du sésame pilé, jusqu'à ce qu'elle aille bien; le lait sera bu à jeun. Si après l'accouchement il y a douleur au siége, faire bouillir baies d'arkeuthos (*juniperus phœnicea*), racine de lin, boire pendant quatre jours; et aussi manger de la graine de laitue pilée avec de la graisse d'oie. Si à la suite de l'accouchement il y a phlegmasie de l'utérus, faire une infusion utérine avec la décoction de strychnos (*solanum nigrum*), ou de bette ou de rhamnus (*rhamnus oleoides*). Si après l'accouchement la femme a la jambe percluse par cause utérine et ne peut se lever, elle boira une chéramis (= $0^{\text{litre}},009$) de baies de jusquiame dans du vin noir, pendant trois jours; cette boisson dérange l'esprit; remède, une coupe de lait d'ânesse, puis un purgatif phlegmagogue; elle fera une fumigation avec la sandaraque, le cérat et le poil de lièvre pendant trois jours. De l'inflammation après l'accouchement : si la matrice s'enflamme à la suite de l'accouchement, infuser dans l'intérieur des parties génitales l'eau de strychnos, ou d'ache, ou de rhamnus ou de bette; ou exprimer le suc d'une courge et l'infuser; ou bien racler en long la partie moyenne et la plus tendre de la courge, et l'introduire. Autre : broyer de l'absinthe dans de l'eau, éponger avec de la laine; si la femme se sent refroidir, on ôtera ce

– σεύτλου θ. – ἐκπιέσας αὐτόν (ἐγχέαι pro αὐτὸν CH θ; ἔγχεον θ; ἔγχεε Vatic. Codd. ap. Foes in not.) vulg. — [10] ἢ (καὶ pro ἢ Cθ) ἀκτῆς (αὐτῆς θ) τὸ vulg. – καὶ om. C. – Post ἁπαλ. addunt ἐὸν Cθ. – περιζέσας C, Ald. — [11] ἀψίνθιον θ. – δ' C. – ἀναςπογγίζειν Cθ – ἀνασπογγίσας vulg.

ἀφαιρέειν. Ἢ κοτυληδόνος φύλλα καὶ πράσα ἑψεῖν ἐν [1] πυρῶν κρίμνοισιν, ἔλαιον ἐπιχέας, δίδου.

79. [2] Χολῆς καθαρτικὰ ἐκ μήτρης· σικύης τὴν ἐντεριώνην λείην τρίψας, καὶ μέλιτι φυρήσας, βάλανον ποιέων, προστίθει· φάρμακον δὲ χρὴ διδόναι καὶ ἄνω καὶ κάτω καθαίρειν, καὶ λούειν τῷ θερμῷ, προστιθέναι δὲ ἄννησον ἢ μελάνθιον. Ἢ [3] κολοκυνθίδος ἀγρίης τὸ ἔνδον λεῖον ποιέειν, καὶ μέλιτι φυρῆν, καὶ προστιθέναι. [4] Ἢ προστιθέναι ἐλατηρίου ὅσον πόσιας [5] τέσσαρας, ξυμμίξας στέαρ χήνειον ἢ αἴγειον, βάλανον εὐμηκεστέρην ποιέειν, καὶ προστιθέναι. Ἢ [6] νίτρον καὶ κύμινον καὶ σκόροδον καὶ σῦκον, λεῖα πάντα ποιήσας καὶ μέλιτι δεύσας, προστίθεσθαι· θερμῷ δὲ λουέσθω, καὶ ἀπὸ λουτροῦ πινέτω. Ἢ [7] θλάσπιν λείην ποιέων καὶ μέλιτι φυρῶν, προστιθέναι. Ἢ σύκου [8] παλαιοῦ τὸ πῖον ξύσας, ξυμμίσγειν πόσιας ἐλατηρίου δύο, καὶ νίτρον ὅσον τὸ ἐλατήριον, μέλιτι δεύσας, προστίθει. Ἢ [9] πευκεδάνου ὁκόσον τρεῖς κυάθους δίδου πιεῖν. [10] Ἢ ἄννησον καὶ μελάνθιον διεὶς οἴνῳ, δίδου πιεῖν. [11] Ἐλατηρίου πόσιας τέσσαρας μίξαι στέατι μηλείῳ, ἀφελομένη δὲ διανιζέσθω ὕδατι εὐώδει, ἠρέμα στύφοντι. [12] Ἢ ἐλατηρίου πόσιας τρεῖς, ξὺν μηλείῳ στέατι, βάλανον περίπτερον ποιέειν· ἢν δὲ ἀφέληται, διανιζέσθω ὕδατι εὖ ἱκανῷ. [13] Ἢ θλάσπιος ὅσον πόσιν ξὺν μέλιτι δίδου.

80. Κλυσμὸς, ἢν χολώδης ᾖ· ἐλατηρίου ὅσον δύο πόσιας ὕδατι διεὶς, ἐπιχέαι ἔλαιον ναρκίσσινον, [14] καὶ κλύζειν χλιερῷ. Ἢ [15] κολο-

[1] Πυρρῶν FGHIK. – κριμνοῖσιν DJθ. – κρημνοῖσιν FGIK, Ald. – ἔλ. ἐπ' αὐτοῖς (ἐπ' αὐ. om. Cθ) χέας (ἐπιχέας Cθ) vulg. – δίδου om. (D, restit. al. manu) FGHIJK. — [2] χολὴν καθαίρειν Cθ. – καθαρτήριον DJQ'. – σικυωνίης C. – σικύην θ. – ἐντεριόνην H. – λίην Cθ. – καὶ om. Cθ. – καθαίρει θ. – ἄνηθον θ. – ἄνισον CDHJ. — [3] κολοκυντίδος D. – ἀγρίης om. FGJ. – Ante τὸ addunt ἐντεριώνην FGI. – λίον θ. – λείην K. – καὶ προστιθέναι I. – καὶ πρ. om. vulg. — [4] καὶ (ἢ pro καὶ θ) πρ. vulg. — [5] τέσσερας θ. – συμμ. DHJθ. – χήνιον C. – μὴ λίον pro χ. θ. – ποιέειν καὶ C. – π. καὶ om. vulg. – προστίθεσθαι θ. — [6] λίτρον θ. – λία θ. – πάντα om. Cθ. – ποιῆσαι θ. – δεύειν Cθ. – λοῦσθαι C. – λούσθω θ. – τοῦ θερμοῦ pro λουτροῦ Cθ. — [7] θλάσπην D. – λίην θ. – Ante λ. addit πίνειν C. – καὶ om. Cθ. – φυρέων Cθ. – προστιθεῖ θ. – προστίθει C. — [8] φιαλιου (sic) θ. – πῦον F. – πύον DGJ. – μίσγειν θ. – λίτρον θ. — [9] πευκεδανοῦ vulg. – πευκεδάνου θ. – ὁπόσον τρὶς κυάμους δοῦναι πιεῖν θ. – δοῦναι πίνειν C. — [10] καὶ vulg. – ἢ θ. – ἄνισον CDHJ. – ἄνησον K. – ἐν (ἐν om. CFGHIJKθ) οἴνῳ vulg. – δοῦναι θ. – πιεῖν om. DFGHJK. — [11] Ante ἐλ. addunt ἢ L, Cordæus, Foes in not., Lind. – μίξας vulg. – μίξαι θ. – μηλίω (bis) Cθ. – ἀφελο-

pessaire. Autre : feuilles de cotylédon (*cotyledon umbilicus*), poireaux, faire cuire avec de la grosse farine de froment, ajouter de l'huile et donner.

79. (*Moyens propres à purger la bile de la matrice.*) Moyens propres à purger la bile de la matrice : dedans d'une courge, bien piler, pétrir avec du miel, faire un gland, appliquer ; il faut donner un médicament qui évacue par le haut et par le bas, laver avec l'eau chaude, et appliquer en pessaire l'anis ou la nielle. Autre : concombre sauvage, le dedans, bien piler, pétrir avec du miel, et appliquer. Autre : élatérion quatre potions, mêler graisse d'oie ou de chèvre, faire un gland allongé, et appliquer. Autre : nitre, cumin, ail, figue, broyer le tout, mouiller avec du miel, et appliquer ; la femme se lavera à l'eau chaude et boira après le bain. Autre : broyer du thlaspi, pétrir avec du miel, et appliquer. Autre : racler la partie grasse d'une vieille figue, mêler deux potions d'élatérion, autant de nitre, mouiller avec du miel, et appliquer. Autre : peucédanum trois cyathes, donner à boire. Autre : anis, nielle, mouiller avec du vin, donner à boire. Autre : élatérion, quatre potions, mêler avec de la graisse de mouton ; après avoir ôté ce pessaire, la femme se lavera avec une eau parfumée, légèrement astringente. Autre : élatérion trois potions, avec graisse de mouton, faire un gland autour de la plume ; après l'avoir ôté, la femme se lavera à grande eau. Autre : thlapsi une potion, donner avec du miel.

80. (*Formules d'injection utérines.*) Injection si la femme est bilieuse : élatérion deux potions, délayer avec de l'eau, verser

μένου DFGJJK. – ἠρέμα I. – στύφουσιν θ. — [12] ἢ om. C. – τρὶς, σὺν θ. – περιπτερὸν vulg. – περὶ πτερὸν GJK. – περίπτερον Dθ. – περ. om. C. – περίπτερος, en ce sens, n'est pas dans les dictionnaires. – δ' θ. – ἐν pro εὖ C. – χάνη pro ἱκανῷ θ. — [13] ἢ om. Cθ. – θαλάσσιον pro θλ. DFGHIJKθ, Ald. – ὅσον om. C. – πόσι σὺν θ. — [14] καὶ om. C. – χλιηρῶς DIJK, Ald. – χλιηρῷ vulg. – χλιερῷ θ. — [15] καλοκυνθίδος C. – δύο ἀγρίας Cθ. – δύο om. (D, restit. al. manu) H. – οἴνῳ γάλακτι C. – οἴνῳ ἢ γάλακτι Lind. – ὀνείῳ γάλακτι L, Vatic. Codd. ap. Foes in not. – ὀνίῳ γάλακτι θ. – τὴν μὲν (τὴν μὲν om. Cθ) μίαν (μίην D) vulg. – ἀπηθεῖν θ. – συμμ. θ. – καὶ om. C.

132. (*Obliquité latérale de l'orifice utérin. Le redresser avec le doigt, avec les bâtonnets, avec la sonde.*) L'orifice utérin s'incline d'un côté et se porte vers la hanche; c'est encore un empêchement à la mondification de la matrice, à la réception du sperme et à la génération. Dans ce cas il faut faire une fumigation aromatique; et, après la fumigation, si l'indication existe, éloigner de la hanche la matrice avec le doigt; puis la redresser avec les baguettes de pin et les sondes de plomb; car, comme il a été dit, elle ne cède pas à une force qui s'exerce rapidement. Quand elle a repris sa situation naturelle et est ouverte, mondifier avec des pessaires émollients, et tout le reste comme il convient.

133. (*Obliquité latérale devenant chronique. Accidents qui en résultent. Les règles supprimées font gonfler les mamelles. Cela donne naissance à de petites tumeurs qui dégénèrent en cancers mammaires. Exposition des signes qui précèdent et annoncent la dégénération cancéreuse. Une des bases du traitement est une fumigation ayant pour but de produire de l'air dans la matrice et de la rendre mobile. Ensuite on emploie les bâtonnets, qui sont ici décrits et dont l'usage est expliqué. Une sonde en plomb alterne avec les bâtonnets. L'auteur se complait à détailler tout le traitement. Comme l'absence des règles est une partie de la maladie, il faut les rappeler; et, pour cela, il institue un régime jour par jour, d'une époque à l'autre; régime que l'on continue deux mois et trois mois si les règles ne viennent pas tout d'abord, et qui, ajoute-t-il en terminant, convient à toutes les maladies de ce genre.*) Quand la matrice se porte à l'ischion, si elle ne s'en éloigne pas promptement pour revenir à sa place, elle s'y dessèche; nécessairement l'orifice est dévié, porté plus haut, et, en raison de la déviation, fermé.

ἔχειν· πάσχουσι [1] γὰρ τοιαῦτα οἷά περ αἱ κύουσαι μέχρι μηνῶν ἑπτὰ [2] ἢ ὀκτώ· ἥ τε γὰρ κοιλίη ἐπιδιδοῖ κατὰ λόγον τοῦ χρόνου, καὶ τὰ στήθεα ἐπαίρεται, καὶ γάλα δοκέει ἐγγίνεσθαι· ὁκόταν δὲ οὗτος ὁ χρόνος ὑπερπέσῃ, οἵ τε τιτθοὶ [3] ξυνισχναίνονται καὶ ἐλάσσονες γίνονται, καὶ ἡ κοιλίη τωὐτὸ πάσχει, καὶ τὸ γάλα ἀποδέδρηκεν ἄδηλον, καὶ ἡ κοιλίη ἐπ' ἐκεῖνον τὸν χρόνον, [4] ὃν χρὴ τίκτειν, ἐπειδὰν ἔλθῃ, ἀπόλωλε καὶ ξυμπίπτει. Τοιούτων δὲ γινομένων, αἱ ὑστέραι ἰσχυρῶς ἐς ὀλίγον χρόνον [5] ξυνέρχονται, καὶ τὸ στόμα αὐτέων ἐξευρεῖν οὐχ οἷόν τε, οὕτω πάντα [6] ξυνειρύονταί τε καὶ ξυναυαίνονται, καὶ ἐν τοῖσι τιτθοῖσι φυμάτια ἐγγίνεται σκληρὰ, τὰ μὲν μέζω, τὰ δὲ ἐλάσσω· [7] καὶ οὐκ ἐκπυοῦνται, σκληρότερα δὲ αἰεί· εἶτα ἐξ αὐτέων φύονται καρκῖνοι κρυπτοί. Μελλόντων δὲ καρκίνων ἔσεσθαι, πρότερον [8] τὰ στόματα ἐκπικραίνονται, καὶ ὅ τι ἂν φάγωσι πάντα δοκεῦσι πικρὰ εἶναι, καὶ ἥν τις πλείονα δῷ, ἀναίνονται λαβεῖν, καὶ σχέτλια δρῶσι· παράφοροι [9] δὲ τῇ γνώμῃ, καὶ οἱ ὀφθαλμοὶ σκληροὶ, καὶ βλέπουσιν οὐκ ὀξέα, καὶ ἐκ τῶν τιτθῶν ἐς τὰς σφαγὰς ὀδύναι διαΐσσουσι [10] καὶ ὑπὸ τὰς ὠμοπλάτας, καὶ δίψα ἴσχει, καὶ αἱ θηλαὶ καρφαλέαι, [11] καὶ αὗται πᾶν τὸ σῶμα λελεπτυσμέναι εἰσὶ, καὶ [12] αἱ ῥῖνες ξηραί τε καὶ ἐμπεπλασμέναι εἰσὶν, οὐκ ἀειρόμεναι· πνεῦμα μινυθῶδες, [13] καὶ οὐκ ὀδμῶνται οὐδὲν, καὶ ἐν τοῖσιν οὔασι πόνος μὲν οὐκ ἐγγίνεται, πῶρος [14] δὲ ἐνίοτε. Ὁκόταν οὖν ἐς τόσον προΐωσι τοῦ χρόνου, οὐ δύνανται ὑγιέες γίνεσθαι, [15] ἀλλ' ἀπόλλυνται ἐκ τουτέων

[1] Γὰρ τὰ (τὰ om. Cθ) τοι. vulg. — [2] καὶ pro ἢ Cθ. – γὰρ θ. – γὰρ om. vulg. – ἐπιδοῖ (sic) C. – ὅταν θ. – τε om. θ. — [3] σ. vulg. – ξ. C, Lind. – ἐλάσσους γίνονται vulg. – γίνονται ἐλάσσους C (θ, ἐλάσσονες). – τὸ ὡυτὸ vulg. (DFGHIJK, αὐτό). – τωὐτὸ Cθ. – ἀποδέδρακεν θ. – ἐς pro ἐπ' θ. — [4] ἐν ᾧ (ὃν pro ἐν ᾧ θ) ἐδόκεε (χρὴ θ) (ἐνεδόκεε pro ἐν ᾧ ἐδ. C) τίκτειν vulg. – ἀποδέδρηκέ (ἀπόλωλε θ) τε (τε om. θ) καὶ vulg. – τοιοῦτον δὲ γινόμενον vulg. – τοιούτων δὲ γινομένων Cθ, Lind. – χρόνον ὀλίγον θ. — [5] σ. vulg. – ξ. DFH IJK. – αὐτέων om. C. – οὐκ Frob. – οὐχοιονται (sic) θ. – οὕτως CDFGKθ. — [6] σ. θ. – ξυνιρ. C. – συναυ. θ. – ἔν τε τοῖσι sine καὶ C. – φύματα θ. – γίνονται vulg. – ἐγγίνεται C. – μείζω Cθ. – τὰ δ' οὔ pro τὰ δὲ ἐλ. θ. – ἐλάττω C. — [7] ταῦτα δὲ (δ' C) οὐ γίνονται ἔμπυα, ἀλλ' αἰεὶ σκληρότεραι (σκληρότερα KL, Lind.) γίνονται· εἶτα (εἶτ' C) ἐξ vulg. – καὶ οὐκ ἐκπυοῦνται, σκληρότερα δὲ εἶ (sic) καὶ ἐξ θ. – αὐτῶν Cθ. – καρκίνοι DI, Ald., Frob. — [8] κατὰ στόμα pro τὰ στ. L, Lind. – ἢν pro ἂν C. – δοκοῦσι vulg. – δοκεῦσι Cθ. – εἶναι πικρὰ θ. – πλείω vulg. – πλείονα θ. – δοι (sic) ἀνάγονται θ. – σχεταῖα vulg. – σχέτλια Hθ. — [9] δὲ καὶ τῇ θ. – οἱ θ. – οἱ om. vulg. – σκηροὶ (sic) H. – καὶ οὐ βλ. ὀξέα

Ainsi dévié et fermé, il devient dur, contracté et estropié. Obstruant la voie des règles, il les renvoie aux mamelles, sur lesquelles elles viennent peser. Le bas-ventre se soulève, et les femmes inexpérimentées croient être grosses; en effet elles éprouvent tout ce qu'éprouvent les femmes enceintes jusqu'à sept mois ou huit : le ventre se développe en proportion du temps, le sein se gonfle, et du lait semble se produire. Mais, quand cette époque est dépassée, les mamelles s'affaissent et diminuent de volume, le ventre s'affaisse également, la lait a disparu sans trace, l'abdomen, quand l'époque où l'accouchement devait se faire est arrivée, tombe et se perd. Cela fait, la matrice se contracte fortement en peu de temps; il est impossible d'en trouver l'orifice, tant tout s'est resserré et desséché. Dans les mamelles se forment des tumeurs dures, les unes plus grosses, les autres plus petites; elles ne suppurent pas, mais deviennent incessamment plus dures; puis il s'y forme des cancers cachés. Au moment où vont naître les cancers, la bouche d'abord devient amère, tout ce que les femmes mangent a un goût d'amertume; si on leur en donne davantage, elles refusent de le prendre, et font des choses dégoûtantes. Leur intelligence se dérange, les yeux sont secs; la vue est émoussée. Des douleurs passent des mamelles aux jugulaires et sous les omoplates. Il y a soif. Le mamelon est desséché, et le corps entier est amaigri. Les narines sont sèches et obstruées, elles ne se tiennent pas droites; la respiration est petite; l'odorat est éteint. Dans les oreilles il n'y a pas de souffrance, mais il s'y forme quelquefois une concrétion. Quand le mal est arrivé à cette époque, il ne peut plus guérir, et il cause la mort de la malade. Mais quand il est soumis à un traitement avant d'avoir fait tant de

θ. – εἰς vulg. – ἐς Cθ, Lind. – διαΐουσι C. — [10] καὶ om. θ. – τοὺς pro τὰς C. – δέψη D. – ἔχει DH. – αἱ om. DH. — [11] καὶ πᾶσα λεπτύνεται θ. – λελεπτισμέναι vulg. – λελεπτυσμέναι CDHJK. — [12] αἱ om. D. – ἀθηρόμεναι (sic) θ. — [13] καὶ οὐκ om. θ. – οὐκ om. C. – ὀδμᾶται DJ. – ὀδμῶται CH. – δ' οὐδὲν θ. — [14] δ' θ. – ὁπόταν θ. – δὲ pro οὖν J. – ἐνταῦθα pro ἐς τόσον C. – τοσοῦτον Q', Lind. – προβῶσι C. – γενέσθαι C. — [15] ἀλλὰ πολλῷ τε ἐκ θ. – νοσ. CJθ.

τῶν νουσημάτων· ἢν δὲ πρότερον [1] ἢ ἐς τόσον ἀφικέσθαι θεραπευθῇ, καὶ λυθῇ τὰ ἐπιμήνια, ὑγιὴς γίνεται. Θεραπεύειν δὲ τὰς τοιάσδε ὧδε [2] χρή· πρῶτον μὲν ἁπάντων, ἢν ἔτι ἰσχυρὴν ἐοῦσαν λαμβάνῃς, ἀποσκεψάμενος ἐς τὸ ἄλλο σῶμα φαρμακεύειν, ὁκοίης ἄν τινος δοκέῃ δεῖσθαι καθάρσιος· ὁκόταν δὲ καταστήσῃς τὸ σῶμα, οὕτως ἰέναι [3] ἐς τὴν τῶν ὑστερέων θεραπείην. Ἢν δὲ μηδὲν δοκέῃ τὸ πᾶν σῶμα κινητέον εἶναι, μηδὲ αἱ προφάσιες ἐντεῦθεν ὡρμῆσθαι, ἀλλ' αἱ ὑστέραι [4] ἐφ' ἑωυτέων τὸ νούσημα ἔχωσι, τῆς θεραπείης ἐνάρχεσθαι ὧδε· πυριῆν πρῶτον τὰς ὑστέρας ὧδε· χύτρινον λαβόντα ὅσον δύο ἑκτέας χωρέοντα, κάνειον ἐπιθεῖναι [5] καὶ ξυναρτῆσαι, ὅκως παραπνεύσεται μηδέν· ἔπειτα [6] δ' ἐκκόψαι τοῦ κανείου τὸν πυθμένα, καὶ ποιῆσαι ὀπήν· ἐς δὲ [7] τὴν ὀπὴν ἐνθεῖναι κάλαμον, μῆκος ὅσον πηχυαῖον· ἐνηρμόσθαι δὲ χρὴ τὸν κάλαμον τῷ κανείῳ καλῶς, ὅκως μὴ [8] παραπνεύσεται μηδαμῶς· ὁκόταν δὲ ταῦτα σκευάσῃς, ἐπίθες τὸ κάνειον ἐπὶ τὸν χύτρινον, περιπλάσας πηλῷ· ὅταν δὲ ταῦτα ποιήσῃς, βόθρον ὄρυξον, ὅσον δύο ποδῶν βάθος, μῆκος δὲ ὅσον χωρέειν τὸν χύτρινον· ἔπειτα [9] χρὴ ἐγκαίειν ξύλοις, ἕως τὸν βόθρον διάπυρον ποιήσῃς· ὅταν δὲ διάπυρος γένηται, ἐξελεῖν [10] χρὴ τὰ ξύλα καὶ τῶν ἀνθράκων οἳ δὴ ἁδρότατοι ἔσονται καὶ διάπυροι, τὴν δὲ σποδιὴν καὶ τὴν μαρίλην ἐν

[1] Ἢ θ. – τοσοῦτον Q', Lind. – ἀφίκεσθαι (sic) I. – θεραπεύηται, λύεται τὰ ἐπ. καὶ ὑγιὴς θ. – τοιαύτας CL, Lind. — [2] ἀποσκεψάμενος ἦχρη (sic) καὶ ἐς τὸ pro χρή.... ἐς τὸ θ. – πρῶτον καὶ (μὲν pro καὶ CDGIK, Ald., Lind.) ἁπ. vulg. – ἐῶσαν FGIJ. – εἰς vulg. – ἐς CDK, Lind. – φαρμακεύειν.... σῶμα om. C. – ὁποίης θ. – δοκέει vulg. – δοκέῃ DFGHIJK. – φαρμακείης καὶ ὧδε pro καθάρσιος.... οὕτως θ. – Post οὕτως addit ὧδε C. — [3] ἐπὶ Cθ. – ὑστέρων DF. – ὑστερῶν J. – προφάσηες C. – ὁρμῆσθαι vulg. – ὡρμῆσθαι J. – ὥρμησθαι (sic) θ. – ὁρμεῖσθαι C. — [4] ἐφ' (ἀφ' Cθ) ἑωυτῶν (ἑαυτέων C) vulg. – νόσημα CDIJK. – ἴσχωσιν, ἐντεῦθεν ἐς τὴν θεραπείην ἐνάρχεσθαι ποιεύμενον, ποιέειν δὲ ὧδε πυριῆν C. – πυριῆν.... ὧδε om. J. – λαβοντα θ. – λαβ. om. vulg. – ἑκταίας δύο C. – δύο κτέας (sic) L. – χοέας θ. – ἐκτέα (sic) (D, al. manu ἑκταίας) FGHIJ. – ἑκτέας K. – χωρεῦντα C. – κανεῖον vulg. – κάνιον Cθ. – κανίον DFGHIJK, Ald., Frob. – In marg. ὅρα τὸ μηχάνημα τοῦ σοφοῦ DH. — [5] ἀπαρτίζων pro καὶ ξ. θ. – ξυναρτίσαι J. – ὅπως μὴ παραπνεύσῃ sine μηδὲν θ. – παραπνεύσηται vulg. – Je lis παραπνεύσεται, même sans mss.; voy. trois lignes plus bas. — [6] δὲ κόψαι vulg. – δ' ἐκκόψαι θ. – τοῦ κ. om., restit. al. manu post πυθμένα cum κανίου D. – κανίου CFGHIJKθ, Ald., Frob. – ποῆσαι F. – ποιέειν Cθ. — [7] ταύτην pro τὴν ὀπὴν θ. – μῆκος om. C. – ὅσον μῆκος θ. – πηχαῖον FJ. – πηχυαῖον CDHIKθ. – πηχιαῖον vulg. – ἐαρμόσθαι (sic) FG. – ἐναρμόσθαι (sic) CDIK, Ald., Frob. – τὸν κ. om. θ. – κανίῳ

progrès, et que les règles se rétablissent, la femme guérit. Voici comment il faut agir en ces cas : avant tout, si la malade vous échoit encore forte, considérer l'ensemble du corps et administrer l'évacuant propre au genre d'évacuation qu'on voudra provoquer. Quand le corps est ainsi remis en état, on procède au traitement de la matrice. Si le corps ne paraît devoir être évacué d'aucune façon, si le mal ne semble avoir aucune cause de ce côté, et que la maladie soit purement utérine, il faut entamer ainsi le traitement. On donnera d'abord une fumigation à la matrice : prendre un vase de la contenance de deux setiers, y mettre un couvercle arrangé de manière qu'aucune vapeur ne puisse trouver une issue, puis percer le fond du couvercle et y pratiquer un pertuis; dans le pertuis mettre un roseau long d'une coudée; le roseau sera bien installé dans le couvercle de manière à ce que la vapeur ne se perde pas; quand ces préparatifs sont faits, mettez le couvercle sur le vase et lutez. Puis creusez un trou de deux pieds de profondeur et assez large pour recevoir le vase; alors on y brûle du bois jusqu'à ce que le trou soit très-chaud; cela fait, on ôte le bois et ceux des charbons qui sont les plus gros et les plus enflammés, mais on y laisse la cendre et le poussier. Quand le vase s'échauffe et que la vapeur en sort, si elle est trop chaude, on attend; sinon, on fait asseoir la femme sur le bout du roseau, qui est introduit dans l'orifice utérin, et l'on fait la fumigation; si l'appareil se refroidit, on jette des charbons ardents, prenant garde que la fumigation ne soit pas trop active; si, par l'addition des charbons, elle devient plus active qu'il ne faut, on diminue le feu. On aura soin de donner cette fumigation par un beau temps, sans vent, afin que la femme

CDFGHIJθ, Ald., Frob. – χανονίῳ K. – ὅπως θ. — [8] παραπνεύσηται vulg. – παραπνεύσεται θ. – μηδ' ἅμα θ. – Il faudrait lire μηδαμᾶ. – μηδαμοῦ CDHIJL, Lind. – ὁπόταν θ. – σκευάσας ἐπιθεὶς θ. – χάνιον Cθ. – χανίον DFGHIJK, Ald., Frob. – περιπλάσαι θ. – καὶ ὀρύξαι βόθρον pro ὅταν.... ὄρυξον θ. – ὄνυξον J. – χωρέον L. — [9] καίειν χρὴ θ. – ὡς θ. – βάθρον C. — [10] χρὴ om. θ. – τοὺς ἄνθρακας θ. – οἱ vulg. – οἳ HI. – δὲ FGJ. – ἀδρότατοι FI. – ἁδροὶ θ. – σποδίην IJKθ, Frob.

τῷ βόθρῳ καταλιπεῖν· [1] ὁκόταν δὲ ὁ χύτρινος ζέσῃ καὶ ἡ ἀτμὶς ἐπανῇ, ἢν μὲν [2] ᾖ λίην θερμὴ ἡ πνοιὴ, ἐπισχεῖν, εἰ δὲ μὴ, καθίζεσθαι ἐπὶ τὸ ἄκρον τοῦ καλάμου, καὶ ἐνθέσθαι ἐς τὸν στόμαχον, ἔπειτα πυριῆσαι· ἢν δὲ ψύχηται, ἄνθρακας διαπύρους παραβάλλειν, φυλασσόμενος, [3] ἵνα μὴ ὀξέην ποιήσῃς τὴν πυρίην· ἢν δὲ [4] παραβαλλομένων τῶν ἀνθράκων ὀξείη γένηται ἡ πυρίη μᾶλλον τοῦ δέοντος, ἀφαιρέειν τῶν ἀνθράκων· τὴν δὲ [5] πυρίην χρὴ κατασκευάζειν ἐν εὐδίῃ τε καὶ νηνεμίῃ, ὡς μὴ ψύχειν, ἀμφικεκαλύφθαι δὲ χρὴ ἀμφιέσμασιν, ἐς δὲ τὸν [6] χύτρινον χρὴ βάλλειν σκόροδα τῶν αὔων, [7] καὶ ὕδωρ ἐπιχέαι, ὥστε δύο δακτύλους ὑπερίσχειν, καὶ καταβρέξαι ὡς ἄριστα, ἐπιχέαι δὲ καὶ φώκης ἔλαιον· καὶ οὕτω θερμαίνειν, πυριῆν δὲ χρὴ πουλὺν χρόνον. Μετὰ δὲ τὴν [8] πυρίην, ἢν ᾖ δυνατὴ, λουσάσθω τὸ μὲν ὅλον σῶμα πρὸς ἡδονὴν, τὴν δὲ ὀσφὺν καὶ τὰ κάτω τοῦ ὀμφαλοῦ πλέονι· δειπνεῖν δὲ δοῦναι μᾶζαν ἢ ἄρτον καὶ σκόροδα ἑφθὰ, τῇ δὲ ὑστεραίῃ, ἢν μὲν διαλελυμένη ᾖ πρὸς τὴν πυρίην, διαλιπεῖν τὴν ἡμέρην ταύτην· [9] ἢν δὲ μὴ, πυριῆν ὀπίσω· πυριωμένη δὲ, ἢν δύνηται σκέψασθαι, κελεύειν ψαῦσαι τοῦ στόματος. [10] Ἡ πυρίη αὕτη φύσης ἐμπίπλησι τὰς ὑστέρας καὶ ἐς ὀρθὸν μᾶλλον ἄγει καὶ ἀναστομοῖ. [11] Ὡς οὖν τοιαύτης ἐούσης τῆς πυρίης καὶ ταῦτα ποιέειν δυναμένης, οὕτω πυριῆν δεῖ. [12] Ὅταν δὲ πυριήσῃς, ἐπεμβάλλειν χρὴ τῶν σκορόδων, καὶ τῆς φώκης τοῦ ἐλαίου ἐπιχέειν· δρῆν δὲ ταῦτα, ἄχρις ἂν δοκέωσιν αἱ ὑστέραι πεφυσῆσθαι, καὶ τὸ στόμα ἄνω εἱλκύσθαι ἰσχυρῶς· πρὸς γὰρ τὴν πυρίην ταύτην [13] τοιάδε ἔσται· διαιτῆν δὲ μετὰ τὰς πυ-

[1] Ὁπόταν θ. – ἡ om. θ. – ἐπανίῃ CJθ. — [2] εἴη θ. – πνοὴ vulg. – πνοιὴ Cθ. – πυριῆσθαι θ. – φυλασσόμενον θ. — [3] ὡς μὴ ὀξέη ἡ πυρίη θ. – ὅκως C. – ὀξείην vulg. – πυριὴν FG. — [4] φαίνηται pro παραβαλλομένων.... δέοντος θ. — [5] πυριὴν FGI. – Post χρὴ addit τὴν δὲ θ. – εὐδίῃσιν, ὅκου ἄνεμος μὴ προσπνεύσῃ μηδὲ προσψύξῃ vulg. – εὐδίῃ τε καινὴν ἐμίῃ (sic) ὡς μὴ ψύχειν θ. – Lisez καὶ νηνεμίῃ. – ἀμφικαλύπτεσθαι θ. — [6] χύτρινον ἐμβάλλειν σκορόδια τῶν λύων (sic) θ. – δεῖ J. – ἄνων, sic, al. manu αὔων D. – Post αὔων addit καὶ πλείονα μὲν καταθρύπτειν τῶν κατακεκαυμένων (κεκαυμένων C; κατακεκομμένων Cornar, Foes in not., Lind.) vulg. – καὶ... κατακεκαυμένων om. θ. — [7] καὶ ὕδωρ ἐπιχέαι ὥστε αὐτὰ καταβρέξεται (καταβρέξαι CJ) καὶ ὑπερέχειν τὸ ὕδωρ τουτέων οἷον (ὅσοι J) τρεῖς δακτύλους, καὶ ἐπιχεῖν φώκης vulg. – καὶ ὕδωρ ἐπιχέαι ὥστε δύο δακτύλους ὑπερίσχειν καὶ καταβρέξαιον (sic) ἄριστα, ἐπιχέαι δὲ καὶ φώκης θ. – Je lis, dans θ, καταβρέξαι ὡς ἄριστα. – οὕτως vulg. – οὕτω Jθ. – χρὴ om. Jθ. – πολλὸν θ. — [8] πυριῆν θ. – ἢν ᾖ δ.

n'ait pas froid; on l'enveloppe de vêtements. Dans le vase on jette de l'ail sec, on verse de l'eau de manière à recouvrir l'ail de deux doigts de liquide; on le laisse bien macérer; on ajoute aussi de l'huile de phoque; et alors on chauffe. La fumigation doit être prolongée beaucoup. Après la fumigation, si elle est en état, elle se lavera le corps entier à son gré, mais les lombes et les parties sous-ombilicales avec beaucoup d'eau. On donnera pour le dîner de la polenta ou du pain et de l'ail bouilli. Le lendemain, si la fumigation l'a épuisée, on interrompt pour ce jour-là; sinon, on recommence. Pendant la fumigation, si elle peut y toucher, on lui prescrit de reconnaître l'état de l'orifice utérin. Cette fumigation remplit d'air l'utérus, le redresse et l'ouvre; c'est parce qu'elle est telle et capable de produire ces effets qu'on la pratique. Quand vous l'administrez, il faut jeter de l'ail et verser de l'huile de phoque; on fait cela, jusqu'à ce que la matrice paraisse remplie d'air et l'orifice tiré fortement en haut; résultats qu'aura en effet cette fumigation. Le régime, après ces fumigations, est le même qu'après d'autres fumigations. Quand la matrice se déplace et devient mobile, on fait une fumigation avec la racine de fenouil, préparant de la même façon un autre vase. On lave les racines de fenouil, on les broye, et on les jette dans le

om. θ. – δυνατὸν JK. – μὲν οὖν (οὖν om. θ) ὅλον vulg. – πλέον (addunt εἰ G, εἶ θ) vulg. – Je lis cela πλέονι. – δοῦναι om. θ. – ἢ θ. – ἡ om. vulg. – δ' Cθ. – διαλημένη (sic) C. — [9] εἰ Cθ. – ὀπίσω om. θ. – Post ἦν addit μὲν θ. – σκέψασθαι om. θ. — [10] ἣν ἡ πυρίη αὐτέη φύσης (φύσσης J; φύσησιν L, Lind.) ἐμπιπλᾷ τὰς ὑστέρας, ἐμπιπλάμεναι δὲ φύσης (φύσσης J; φύσησι Lind.) τὸ στόμα (σῶμα CDHIJK) ἐκ τοῦ λίην ἀπεστράφθαι καὶ προσπεπτωκέναι πρὸς τῷ ἰσχίῳ, ὡς ὀρθὸν μᾶλλον καθεστᾶσι (καθεστῶσι Lind.) καὶ ἀναστομοῦνται vulg. – ἡ πυρίη αὔτη φύσης ἐνπίμπλησι τὰς ὑστέρας καὶ ἐς ὀρθὸν μᾶλλον ἄγειν καὶ ἀναστομοῖ θ. – Je lis ἄγει. — [11] ὡς.... δεῖ om. θ. – ταύτης D. — [12] ὁπόταν θ. – ἐμβάλλειν vulg. – ἐπεμβάλλειν θ. – σκοροδίων θ. – σκοροδέων (sic) C. – ἐπιχεῖν θ. – ὁρᾶν θ. – ἄχρι Cθ. – ἂν om. C. – δοκῶσιν vulg. – δοκεῦσιν C. – δοκέωσι θ. – πεφυσσῆσθαι J. – εἱλκῦσθαι FIK, Ald., Frob., Lind. – ἑλκύσθαι D. — [13] τοια (sic) θ. – διαίτην Cθ. – τοὺς pro τὰς C. – ὥστε pro ὡς ὅτε C. – τὸ om. J. – πυριῆτο vulg. – πυριήτω C. – ἐπυριῆτο θ. – ὅταν δ' θ. – ἀνακινηθῶσιν vulg. – ἀνακινηθέωσιν C. – ἀνακεινηθέωσιν θ. – μαράθου CFGHIJKθ, Ald.

ρίας, ὡς ὅτε τὸ πρότερον ἐπυριῆτο. Ὁκόταν δὲ ἀνακινηθέωσιν αἱ ὑστέραι καὶ εὔλυτοι γένωνται, πυριῆν μαράθρου ῥίζησιν, [1] ἕτερον χύτρινον κατασκευάσας τὸν αὐτὸν τρόπον, τὰς δὲ ῥίζας τῶν [2] μαράθρων ἀμφιπλύναντα φλᾶσαι, καὶ ἐς τὸν χύτρινον ἐμβαλεῖν, καὶ ἐπιχέας ὕδωρ τὸν αὐτὸν τρόπον πυριῆν. Μετὰ δὲ ταῦτα λούειν, καὶ ἐς ἑσπέρην δειπνεῖν μᾶζαν· ἢν δὲ ἄρτον βούληται καὶ [3] βολδίδια καὶ σηπίδια τῶν σμικρῶν, ἐν οἴνῳ ἑψεῖν καὶ ἐλαίῳ, καὶ παρέχειν ἐσθίειν. Ἐν δὲ τῇ πυρίῃ πειρῆσθαι τοῦ στόματος ψαύειν· [4] αὕτη ἡ πυρίη ἄγει τὰς ὑστέρας ἄγχιστα· ταῦτα δὲ χρὴ ποιέειν ἐφ' ἡμέρας πέντε ἢ ἕξ, σκεπτόμενον ἐς τὴν ἄνθρωπον· [5] κἢν μὲν διαλύηται καὶ ἀσθενὴς γίνηται, διαλαμβάνειν ἐς ὅσον δεῖ χρόνον· ἢν δὲ μὴ διαλύηται, πυριῆν ἀνὰ πᾶσαν ἡμέρην. Μετὰ δὲ τὰς πυρίας [6] πειρῆσθαι προστιθέναι τῶν προσθέτων τῆς σιάλου δαιδὸς τῆς πιοτάτης, χρίσμα δὲ λίπα ἔστω, ποιέειν δὲ μῆκος μὲν δακτύλων ἕξ, πλῆθος δὲ πέντε ἢ ἕξ, εἶδος δὲ ἔξουρα· εἶναι δὲ θάτερον θατέρου σμικρῷ παχύτερον· τὸ δὲ [7] παχύτερον εἶναι ὁκόσον δάκτυλος ὁ λιχανὸς, καὶ τὸ εἶδος ὅμοιον τῷ δακτύλῳ ἐξ ἄκρου λεπτότατον. [8] ἀγόμενον δὲ παχύτερον· ποιέειν [9] δὲ ὡς λειότατόν τε καὶ στρογγυλώτατον, φυλασσόμενον ὅκως σχινδαλμὸς μηδεὶς ἔσται· προστιθέναι δὲ πρῶτον τὸ λεπτότατον· [10] ὅταν δὲ προσθῆται, ἀναπαυέσθω ὅκως μὴ ἐκπέσῃ φυλάσσουσα· [11] προστιθέσθω δὲ πρῶτον τὸ ἄκρον, εἶτα αἰεὶ μᾶλλον, ὁμοῦ τε ἐπιστρέφειν καὶ ἀπωθέειν κυκλόσε τὸ δαίδιον· καὶ ὁκόταν σμικρὸν προσδέξηται, ἐπισχεῖν [12] ἐπὶ τῷ σμικρῷ τουτέῳ, φυλάσσουσα ὡς μὴ ἐκπέσῃ· εἶτα

[1] Ἕτερόν τε (τε om. Cθ) κατασκευάσαι (κατασκευάσας θ) vulg. — [2] μαράθων CFGHIKθ, Ald., Frob. – φλάσθαι vulg. – θλᾶσθαι CDFHIJKL. – φλᾶσαι θ, Lind. – ἐμβάλλειν C. – καὶ ἐπιχέαι ὕ. καὶ τὸν θ. – ταῦτα om. θ. — [3] βόλδια θ. – βολδιτία Cornar. – βολίδα, al. manu βολβίδα D. – Gal. Gl. : βολβιτία, τὰ ὑπὸ τῶν πολλῶν βομβύλια προσαγορευόμενα· γένος δέ ἐστι τοῦτο μικρῶν πολυπόδων. – σιπίδια FHIK. – σηπίδα D. – μικρῶν C. – Post οἴνῳ addunt πάντα C, δὲ πάντα θ. – καὶ ἐν (ἐν om. Cθ) ἐλ. vulg. – καὶ παρ. ἐσθ. om. Cθ. – πειρᾶσθαι θ. — [4] ἡ πυρίη ἄγειν (αὐτὴ ἡ πυρίη ἄγει C) (πυριήσσειν sic pro πυρίη ἄγειν K) τὰς ὑστ. ἄγχιστα· ταύτας χρὴ πυριῆν ἐφ' ἡμέρας (ἡμέραις K) vulg. – αὕτη ἡ πυρίη ἄγει τὰς ὑστ. ἄγχ. ταῦτα δὲ χρὴ ποιέειν ἐφ' ἡμέρας θ. — [5] ἢν Cθ. – διάλυτός τε καὶ θ. – γίνεται vulg. – γίνηται CDFGHIJKθ. – διαλαμβάνων ὁκόσον (ὁπόσον θ) ἂν σοι δοκέῃ χρόνον Cθ. – ἅπασαν sine ἀνὰ θ. – ἡμέραν F. — [6] πειρᾶσθαι θ. – τῆς πιάλου (σιάλου CDHIθ) δαιδὸς (παιδὸς C) (addit τῆς θ) πιοτάτης (ποιοτάτας L) vulg. – Gal. Gl. : σιάλου δαιδὸς καὶ σιάλου αἰγὸς, τοῦ λιπαροῦ. – χρῖσμα G, Ald. – χρίμα θ. – λῖπα FHI, Frob. –

vase; on verse de l'eau, et on administre semblablement la fumigation. Après cela, la femme prend un bain, et, le soir, à son dîner, elle mange de la polenta; si elle veut du pain, de petits poulpes et de petites sèches, elle peut les faire bouillir dans du vin et de l'huile et les manger. Pendant la fumigation, elle essayera de toucher l'orifice utérin; cette fumigation a pour effet d'amener la matrice très-près. On l'administre pendant cinq ou six jours, en considérant l'état de la femme; si elle s'épuise et devient faible, on interrompt tout le temps qu'il faut; si elle ne s'épuise pas, on fait une fumigation chaque jour. Après les fumigations, on essaye de mettre les pessaires faits avec des bâtonnets du pin le plus gras; on les enduit avec de l'huile; ils sont longs de six doigts, au nombre de cinq ou six, de forme conique, et un peu plus gros les uns que les autres; le plus gros est comme le doigt indicateur, de même forme que ce doigt, plus mince par le bout, grossissant en allant vers l'autre extrémité. Ces bâtonnets seront aussi lisses et aussi ronds que possible, sans aucune écharde. On place d'abord le plus mince. Quand il est en place, la femme se tient tranquille, prenant garde qu'il ne tombe. On n'enfonce d'abord que le bout, puis on l'engage de plus en plus, le faisant tourner et le poussant en même temps. Quand le petit bout est reçu, on s'arrête à ce petit bout, et la femme prend garde que le bâtonnet ne tombe. Puis on enfonce davantage de la même façon, jusqu'à ce qu'il soit entré de quatre doigts

λεῖπα θ. – Ante μῆκος addit ὧδε θ. – Gal. Gl. : ἔξουρα, εἰς στενὸν συνηγμένα, ἃ δὴ καὶ μύοπα ὀνομάζουσιν. – μικρῷ C. – παχύτερον Cθ. – βραχύτερον vulg. — [7] βραχύτερον J. – εἶναι om. J. – δειχανος (sic) θ. — [8] ἐχόμενον Vatic. Codd. ap. Foes in not. — [9] δὲ om. θ. – λιότατον θ. – στρογγυλότατον D. – στροπυλώτατον (sic) C. – φυλ. (φυλασσόμενος C) δὲ (δὲ om. Cθ) ὅκως (ὅπως θ) vulg. – σκινδαλαμὸς θ. – σχιδαλμὸς DF. – σχιδαλασμὸς G. – σχινδαλασμὸς Ald. – σχιδαλαμὸς HIK. – κινδάλαμος (sic) C. – ἐνέσται Cθ. – ἔστω L. — [10] καὶ pro ὅταν δὲ πρ. θ. – πρόσθηται C. – ὡς θ. – φλάσσουσα (sic) C. — [11] προστιθέσθω D. – προστιθέτω vulg. – εἶτα καὶ (καὶ om. θ) αἰεὶ vulg. – κύκλωσε FGHIJK. – κυκλοσαι (sic) θ. – δαιδίον C. – ὅταν θ. – μικρὸν θ. — [12] ἐν vulg. – ἐπὶ θ. – τούτω θ. – φυλάσσουσαν θ. – ἐκπέσηται vulg. – ἐκπεσεῖται C. – ἐκπέσῃ Lθ, Lind. – εἶτ' DFGHIJK. – ἐς (ἐς om. θ) τὸν vulg.

αὖθις ἀπωθέειν τὸν αὐτὸν τρόπον, ἄχρις οὗ τεσσάρων δακτύλων[1] ἔσω τοῦ στόματος τῶν ὑστερέων γένηται· ὅταν δὲ τοῦτο προσδέξηται, τὸ μετὰ τοῦτο προστιθέναι, ὁμοῦ τὸ προσκείμενον ἀφαιρέουσα, [2] ὅκως, πρὶν ξυμπεσεῖν τὸ στόμα, προσκείσεται θάτερον δαίδιον ἔτι ὀρθοῦ ἐόντος καὶ ἀνεῳγμένου· οὕτω [3] δὲ τοῦτο ἔσται, ἣν τὸ μὲν ἐξαιρέηται, τὸ δὲ προστίθηται. Χρὴ δὲ καὶ μόλυβδον ἴκελον ἐξελάσαντα [4] ποιῆσαι τὸ εἶδος τῷ δαιδίῳ τῷ παχυτάτῳ, κοῖλον δὲ ὅκως ξυνέξει· τοῦ δὲ [5] μολύβδου εἶναι τὸ εὖρος ἐληλασμένον οἷον ἐπὶ τὰ ἕλκεα [6] ἐξελαύνεται· ὅκως δὲ τὸ στόμα τοῦ μοτοῦ λεῖον ἔσται καὶ μὴ τρώσει, ποιέειν ταῦτα ὡς καὶ τῶν δαιδίων· ὁκόταν δὲ ποιηθῇ ὁ μοτὸς ὁ μολύβδινος, στέατος αὐτὸν ἐμπλῆσαι οἵος τετριμμένου· [7] ὁκόταν δὲ παρεσκευασμένος ᾖ, τὸ μὲν δαίδιον ὑφελεῖν, τὸ δὲ μολύβδιον ἐνθεῖναι. [8] Ἢν δὲ τὸ μολύβδιον καῦμα παρέχῃ προστεθὲν, τὸ [9] μὲν μολύβδιον ἀφαιρέειν, τὴν δὲ δαΐδα ὀπίσω προστιθέναι, [10] καὶ τὸ μολύβδιον ἀποβάψαι ἐς ὕδωρ ψυχρόν· ἔπειτα ὀπίσω προσθεῖναι, τὴν δὲ δαΐδα ἀφελεῖν· προσκεῖσθαι δὲ χρὴ αἰεί τι· [11] τὴν ἡμέρην ἄμεινον τὴν δαΐδα ἔχειν, νύκτωρ δὲ τὸ μολύβδιον. Ἢν [12] δ' ἀναστῆναι θέλῃ, φυλασσομένη τοῦτο ὁράτω, ὅκως ὁ μοτὸς ἀτρεμέῃ· [13] ἢν δὲ μὴ, αὐτίκα κατόπιν προστιθέναι. Ἢν δὲ τῶν δαιδίων, ἃ δὴ προσέκειτο, μηδὲν προσδέχηται, λεπτότερον ποιέειν, [14] μέχρις εὐπιθὲς ᾖ. Ἢν δὲ τὸ στόμα [15] μὴ δύνηται ἀνοίγεσθαι, [16] μηδὲ αἱ ὑστέραι ἄγχου προσίω-

[1] Τὸ εἴσω (ἔσω θ) vulg. – Je supprime τό. – ὑστέρων D. – Ante γένηται addit τοῦτο θ. – ἐγγένηται D. – ὅταν δὲ τοῦτο om. θ. – πρότερον δέξηται pro προσδ. K. – ὁμοῦ.... προστίθηται om. L. – προκείμενον DFGHI, Ald., Frob. – πρὶν pro προσκ. θ. — [2] ὅκ. om. θ. – προκείσεται vulg. – προκείσηται Lind. – ὡς προσκείσεται θ. – προσκείσηται DFHIJK. – θάτερον δαίδιον θ. – θ. δ. om. vulg. – ὀρθοῦ ἔτι θ. – ἠνεωγμένου J. – ἀνεογμένου C. – οὕτω Jθ. – οὕτως vulg. — [3] δὲ om. (D, restit. al. manu) FGHIJK. – τούτου FGHIK. – ἕλκηται θ. – ἐξερέηται J. – προστιθῆται J. – προστιθέαται θ. – μολίβδιον θ. – μόλιβδον CD HJK. – εἰκέλως C. — [4] εἶδος ποιῆσαι sine τὸ θ. – κοιλοτάτω pro παχυτάτῳ θ. – ὅπως θ. – ξυνέξῃ vulg. – ξυνέξει CFHIJK. – συνέξει D. – δὴ ἁρμονίη καλῶς ἕξει pro ξυνέξει θ. — [5] μολίβδου CDJ. – μολυβδίου θ. – ἐληλαμένου θ. – ἐλιλασμένον FGHI. — [6] ἐξ. om. θ. – ὅπως θ. – δὲ θ. – δὲ om. vulg. – μου (sic) pro μοτοῦ θ. – λίον θ. – τρώσῃ vulg. – τρώσει θ. – ποιέει (ποιέειν HIθ) δὲ (δὲ om. θ) ταῦτα ὡς καὶ τὰ (τὰ om. Cθ) τῶν vulg. – παιδίων C. – ὁπόταν θ. – ὅταν D. – ὅμοιος pro ὁ μοτὸς θ. – μολίβδινος CDJK. – αὐτὸν om. J. – τριπτοῦ θ. — [7] ὅταν θ. – παρασκευασμένος (sic) H. – παρασκευασμένον σοι ᾖ θ. – παρασκευασθῇ J. – δαιδίον CH. – μολίβδινον D. – μολίβδιον CJK. — [8] ἢν καῦμα δὲ παρέχῃ προσθετὲν θ. – μολίβδιαν CDJK. – μολίβδινον L. – κλύμα vulg. –

à l'intérieur de l'orifice utérin. Quand ce premier bâtonnet est ainsi reçu, on l'ôte pour substituer celui qui suit en grosseur, de manière que celui-ci soit en place avant l'affaissement de l'orifice et quand cet orifice est encore droit et ouvert. Or, on réussira, si on enlève l'un et met l'autre. Il faut aussi avoir une tige en plomb semblable, pour la forme, au bâtonnet le plus gros, mais creusée à l'intérieur pour pouvoir contenir quelque chose. La capacité en sera celle de la sonde pour les plaies. Afin que l'orifice de cette tente soit lisse et ne blesse pas, on la dispose comme le bout des bâtonnets. Quand la tente en plomb est prête, on l'emplit de graisse de mouton broyée. Cela fait, on ôte le bâtonnet, et on met en place le plomb. Si, mis en place, il cause de la chaleur, on le retire et on remet le bâtonnet; on trempe le plomb dans de l'eau froide, et on le replace, après avoir ôté le bâtonnet. Il faut qu'il y ait toujours quelque chose en place : pendant le jour le bâtonnet vaut mieux, le plomb pendant la nuit. Si la femme veut se lever, qu'elle se lève, mais en ayant attention à ce que la tente reste en place; et, en cas de déplacement, elle la remettra aussitôt. Si aucun des bâtonnets employés pour ces cas ne sont reçus, on les fera plus minces, jusqu'à ce que l'opération puisse s'accomplir. Dans le cas où ni l'orifice utérin ne peut être ouvert, ni

κλύσμα L. – καῦμα Foes in not., Lind. – περιέχῃ vulg. – παρέχῃ Lind. — [9] μὲν om. θ. – μολίβδιον CDK. – δαιδαν (sic) θ. — [10] καὶ.... προσθεῖναι om. J. – Post καὶ addit αὖτις θ. – μολίβδιον CD. – ὑποβάψαι D. – ἔπειτ' θ. – προστιθέναι vulg. – προσθεῖναι Cθ. – χρὴ post αἰεὶ D. – αἰεὶ CDFGHJKθ, Lind. – ἀεὶ vulg. – ἐπὶ pro τι θ. — [11] [καὶ] τὴν [μὲν] Lind. – ἀμείνω vulg. – ἄμεινον θ. – δαίδα (sic) H. – δὲ om. θ. – μολίβδιον CDJK. — [12] δὲ θ. – φλασσομένη (sic) C. – ὅπως θ. – ἀτρεμέει Ald. — [13] εἰ θ. – δαιδίων ὧν (τῶν C; ἃ θ) (addit δὴ θ) πρόσκειται (προσέκειτο θ) vulg. – προσέχηται pro προσδέχηται D. — [14] μέχρις οὗ προσδέχηται (προσδέξηται CDFGHIJKL, Lind.) ἐκ τουτέων εἰς (ἐξ pro εἰς DHI; ἐς CK, Lind.) (ἐξεκεῖνα sic J) καθεστάναι (καθιστᾶναι D; καθεστᾶναι C) καὶ εὐπιθῆσαι (εὐπειθῆσαι J; ἀπηθῆσαι K; εὐπειθήσει C; εὐπιθήσει Vatic. Codd. ap. Foes in not.) vulg. – μέχρι εὐπιθὲς ᾖ pro μέχρις.... εὐπιθῆσαι θ. — [15] μηδὲ vulg. (μήδε sic G; μηδὲ om. J). – μὴ CDFIKθ. — [16] μηδὲ (μηδ' CDJθ) (addunt αἱ CDJθ) ὕστ. vulg. – αὖτις ἐπαναχωρέειν θ. – ἐπαναχωρεῖν vulg. – ἰητρίην (ἰητρείην DHIJK; πυριῆν θ) vulg. – δευτέραν vulg. – δευτέρην θ, Lind. – μαλαχθῶσι vulg. – μαλαχθέωσιν C.

σιν, αὖθις ἐπαναχωρέειν ἐπὶ τὴν ἀρχαίην πυρίην· ἀπὸ δὲ τῆς πρώτης ἐπὶ τὴν δευτέρην, μέχρις ὅτου μαλαχθέωσι καὶ πελαστάτω προσίωσι· [1] κἄπειδὰν ἀναστομωθέωσι, προστιθέναι προσθετὰ ποιήσαντα δύο, εἶναι δὲ τὸ μέγεθος ὅσον ἐλαίη, [2] τούτων δὲ τὸ ἕτερον προσκεῖσθαι, μέχρις ὅτου ἐκτακῇ, κἄπειτα θάτερον προστιθέναι· ὁκόταν δὲ προστίθεσθαι μέλλῃς, [3] βάψαι τὸ προσθετὸν τὸ ἐκ τῆς ῥητίνης, ἀφίστησι γὰρ ἀπὸ τοῦ στόματος τῶν ὑστερέων, ἐς ἔλαιον ῥόδινον ἢ ἴρινον. Πρὶν δὲ τὸ [4] μολύβδινον προσκέεσθαι χρὴ, ὅκως ἐν ὀρθῷ τῷ στόματι ἐρηρείσεται ἐς τὸ ἔσω τοῦ σώματος· ἔπειτα μαλθακτήρια προστιθέναι, λούεσθαι δὲ θερμῷ καὶ πρὸ τῶν προσθετῶν καὶ ὕστερον, καὶ δεῖπνον διδόναι τῶν [5] θαλασσίων. Ὅταν δὲ ἡμέραι γένωνται δύο ἢ τρεῖς ἀπὸ προσθέσιος, σκεψάμενος, ἢν μὲν τὸ στόμα καλῶς ἔχῃ τῶν ὑστερέων καὶ καθαρὸν ᾖ, παύεσθαι τουτέου τοῦ προσθετοῦ, μετὰ δὲ τοῦτο μαλθακτήρια· ὅταν [6] δὲ ἀποφλεγμήνῃ, αἰεὶ προσκείσθω τὸ δαίδιον ἢ τὸ μολύβδιον· ἢν δὲ μήπω καθαρὸν ᾖ τὸ στόμα τῶν ὑστερέων, αὖθις προστιθέναι τὸν αὐτὸν τρόπον τὰ φάρμακα, καὶ τἄλλα [7] ποιέειν, ὡς εἴρηται, καὶ τὸ [8] στόμα ἀναφυσῆν δεῖ καὶ τὰς ὑστέρας ὧδε, προσθετὸν ποιήσαντα [9] τὸ ξὺν τῷ σύκῳ προσθεῖναι· ποιέειν δὲ δύο καὶ ταῦτα· [10] πρὸ δὲ τοῦ προσθεῖναι πυριῆσαι τῇ πυρίῃ τῇ ἐκ τοῦ μαράθρου τῇ πρόσθεν εἰρημένῃ· μετὰ δὲ τὴν πυρίην τῇ ὑστεραίῃ προστιθέναι τὸ [11] φάρμακον λούσαντα· λούειν δὲ καὶ ἐς ἑσπέρην·

[1] Καὶ ἐπ. C. – ἀναστομωθῶσι vulg. – ἀναστομωθέωσι C. – προσθεῖναι θ. – δύο θ. – δύο om. vulg. – ὡς (adest spatium vacuum quinque vel sex litterarum) κοτινάδα pro εἶναι.... ἐλαίη θ. — [2] πυριάσαι δὲ πρὶν θάτερον τούτω προσκεῖσθαι μέχρι ὅτου ἐκτακῇ· ὅταν δ' ἐκτακῇ, καὶ θάτερον προστίθεσθαι pro τούτων.... μέλλῃς θ. – τούτω J. – ὅτου om. J. – ἐκταμῇ H. – καὶ ἔπειτα C. – ὅταν C. – μέλῃς C. — [3] ἅψαι vulg. – ἅψαι DIK. – βάψαι Foes in not., Lind. – βάπτειν δὲ θ. – ῥιτ. FG. – ἀφίσταται θ. – ἢ ἴρινον om. θ. – ἠρινὸν C. — [4] μολίβδιον D. – μολύβδιον θ, Lind. – μολίβδινον CJK. – προσκεῖσθαι vulg. – προσκέεσθαι C. – προσκέεσθαι.... μαλθακτήρια om. J. – ὅπως τῷ σώματι ἐρηρείσεται ἐς τὸ ἔσω τοῦ στόματος θ. – σώματι (D, emend. al. manu) FG, Ald. – ἐνειρίσηται vulg. – ἐνειρύσηται DH, Foes in not., Lind. – ἐνειρίσεται C. – εἰς vulg. – ἐς CDHIK, Lind. – εἴσω vulg. – ἔσω Kθ. – λοῦσθαι θ. — [5] θαλασσίων τι τῶν εἰρημένων· διδόναι δὲ, (τι τῶν εἰ. διδ. δὲ om. θ) ὅταν (addit δὲ θ) ἡμέραι vulg. – τρὶς θ. – καὶ [ἢν] καθαρὸν Lind. – καὶ παύεσθαι legit Foes in not. — [6] δ' θ. – ἀποφλεγμαίνῃ CIJK. – ἀναφλεγμήνῃ legit Foes in not. – αἰεὶ προσκείσθω τὸ δαιδίον ἢ τὸ μολύβδιον· ἢν δὲ μήπω καθαρὸν ᾖ θ. – αἰεὶ.... ᾖ om. vulg. – αὖτις θ. – τὸν α. τρ. om. θ. – τὰ ἄλλα C. — [7] ποιέειν κατὰ τὸν ὑφηγημένον τρόπον· ὅταν δὲ (δὲ om. DFGIK, Ald.) καλῶς ἔχῃ τὸ

la matrice amenée à proximité, il faut en revenir à la fumigation du début, commençant par la première et finissant par la seconde, jusqu'à ce que l'utérus s'assouplisse et s'abaisse très-près. Quand il est ouvert, on a deux pessaires, gros comme une olive; on en met un, qu'on laisse jusqu'à ce qu'il fonde; puis on met l'autre. Ce pessaire à la résine, quand il va être placé, sera plongé dans de l'huile de rose ou d'iris, ce qui l'empêche de se coller à l'orifice utérin. Auparavant il faut mettre le plomb, afin que le pessaire soit dans un orifice droit et s'enfonce à l'intérieur du corps de l'utérus. Puis on applique les émollients. La femme se lave à l'eau chaude et avant les pessaires et après. Son dîner est de poissons de mer. Quand deux jours ou trois ont passé après cette application, on considère si l'orifice est en bon état et mondifié, et l'on cesse l'usage de ce pessaire, auquel on fait succéder les émollients; et, quand l'inflammation est tombée, on entretient toujours en place le bâtonnet ou le plomb. Mais si l'orifice utérin n'est pas encore mondifié, on applique de nouveau en pessaire les médicaments, et on fait le reste comme il a été dit; on produit l'insufflation de l'orifice utérin et de l'utérus en appliquant le pessaire à la figue; on en a aussi deux de cette espèce; avant de les mettre, on administre la fumigation avec le fenouil indiquée plus haut. Après la fumigation, le lendemain, on applique le médicament, on a auparavant donné un bain, on en donne un aussi le soir. On trempe ce pessaire, comme l'autre,

σῶμα (στόμα Vatic. Codd. ap. Foes), ἀναφυσῆν (ἀναφυσεῖν F; ἀναφυσσῆν J; ἀναφυσοῦν L) (κατὰ.... ἀναφυσῆν om. θ) ὡς vulg. — [8] στ. δὲ (δὲ om. Cθ) vulg. – ἀναφυσᾶν θ. – ἀναφυσσῆν J. – ἀναφυσοῦν L. – δὲ pro δεῖ DL. – χρὴ θ. — [9] τὸ θ. – τὸ om. vulg. – σὺν θ. – καὶ om. J. — [10] καὶ τῇ πυρίῃ τῇ ἐκ τοῦ βαράθου (sic) πυριῆσαι (adest hic spatium vacuum quindecim vel sedecim litterarum) pro πρὸ.... εἰρημένῃ θ. – πυριῆσαι καὶ τῇ vulg. – J'efface ce καὶ, qui, par le fait, manque dans θ. – μαράθου CGHIK, Ald., Frob. — [11] φάρμακον· ὅταν δὲ μέλλῃ προστιθέναι (πρ. om. J) πρὸ πάντων τῶν προσθετῶν λούσαντα, οὕτω (οὕτως CDFGHIK) προστιθέναι· τῇ δ' ὑστεραίῃ ἡμέρῃ vulg. – φάρμακον λούσαντα· λούειν δὲ καὶ ἐς ἑσπέρην· βάπτειν δὲ καὶ τοῦτο ἐς ἔλαιον, ὅταν προστίθηται· μετὰ δὲ τὴν κάθαρσιν τῇ ὕστερον ἡμέρῃ θ. – ἀρρήγει FGI, Ald., Frob. – ἄχρι Cθ. – ἢν pro ἂν C.

βάπτειν δὲ καὶ τοῦτο ἐς ἔλαιον, ὅταν προστίθηται· μετὰ δὲ τὴν κάθαρσιν τῇ ὕστερον ἡμέρῃ μαλθακτήρια ἀρήγει ἄχρις ἂν φλεγμήνωσι· [1] μετὰ δὲ τὴν φλεγμασίην ποιέειν τὴν δαΐδα κατὰ τὸν ἔμπροσθεν λόγον. Ποιέειν δὲ καὶ περὶ [2] τοῦ προσθέτου τούτου τοιαῦτα, οἷά περ καὶ περὶ τοῦ προτέρου· [3] κἢν μὲν ἅπαξ προστεθὲν ἀρκεόντως δοκέῃ ἀναφυσῆσαι τὰς ὑστέρας, πεπαῦσθαι· ἢν δέ [4] τι χρήζῃ, αὖθις προστιθέναι τὸν αὐτὸν τρόπον ὅνπερ τὸ πρότερον. Μετὰ δὲ ταῦτα, ὅταν δοκέῃ σοι καιρὸς εἶναι, τὴν πυρίην κατασκευάζειν τὴν ἐκ τῶν θυμιημάτων· [5] σκευάζεται δὲ τόνδε τὸν τρόπον· κύπειρον κόψαντα κατασῆσαι ὅσον σκαφίδα, καὶ κάλαμον μυρεψικὸν ἕτερον τοσοῦτον, καὶ σχοίνου τῆς μυρεψικῆς ἴσον, καρδαμώμου τε ἴσον, καὶ κυμίνου αἰθιοπικοῦ, καὶ ἀννήσου, καὶ πηγάνου ξηροῦ, καὶ ὑπερικοῦ, καὶ μαράθου σπέρμα· ὅταν [6] δὲ ταῦτα παρασκευάσῃς, ἐγχέας ἐς τὸν χύτρινον οἴνου αὐστηροῦ κοτύλας ἓξ ὡς εὐωδεστάτου λευκοῦ, ἐπιπάσαι τῶν κεκομμένων ὅσον τεταρτημόριον, [7] καὶ ἀναταράξαι· εἶτα ἐπιχέαι ὅσον τριώβολον ὁλκὴν μύρον αἰγύπτιον ὡς βέλτιστον, ἢ ἀμαράκινον, ἢ ἴρινον ἄκρον· ὅταν δὲ ἐπιχέῃς, ἀναταράξαι· [8] πυριῆν δὲ μαλθακῇ πυρίῃ πλεῖστον χρόνον· λούειν δὲ πρὸ τῆς πυρίης, καὶ πυριῆν ἡμέρας δύο ἢ τρεῖς· ὅταν δὲ παύσηται πυριωμένη, ἐπίθεμά τι χρὴ ἐπικέεσθαι ἐπὶ τῇ πυρίῃ, ὅκως μὴ ἀποπνέῃ· μετὰ δὲ τοῖσι δαιδίοισι καὶ [9] τοῖσι μολύβδοισι χρέο· ὅταν δὲ πυριήσῃς ἡμέρας δύο ἢ τρεῖς, ἑτέρας διαλιπεῖν δύο ἢ τρεῖς· τὰς [10] δὲ μεταξὺ ἡμέρας λούειν δὶς τῆς ἡμέ-

[1] Καὶ μετὰ τὴν φλ. J. – μ. δὲ τ. φλ. om. θ. – ποιέειν τὰ ἄλλα (τὴν δαιδα sic θ) κατὰ vulg. — [2] τοῦ πρόσθεν τούτου του (sic) θ. – περ om. DFGIKθ. — [3] κἢν (καὶ ἢν C) μὲν μείνῃ (ῇ C; μήνη Ald., Frob.; μένη DFHIJKL) ἅπαξ προστεθὲν, ἀρκέοντος (ἀρκεόντως J) δοκέῃ (δοκέει D; δοκεῖ J) εἶναι, φυσῆσαι τὰς ὑστέρας καὶ πεπαῦσθαι vulg. – καὶ ἢν μὲν ἅπαξ προστεθὲν ἀρκοῦντος δοκέῃ ἀναφυσῆσαι τὰς ὑστέρας πεπαῦσθαι θ. — [4] τις vulg. – τι θ. – χρίζῃ θ. – χρήξῃ H. – αὖτις Cθ. – προστ. om. J. – ὅνπερ καὶ (καὶ om. C; τὸ pro καὶ θ) πρ. vulg. – ταῦτα om. θ. – ὅταν καλῶς (καλῶς om. θ) δ. σοι καὶ (καὶ om. θ) καιρὸς vulg. – κατασκευάσαι θ. – θυμιημάτων C. – θυμιωμάτων θ. – θυμιαμάτων vulg. — [5] σκευάσαι δὲ ὧδε pro σκ.... τρόπον θ. – τὸν pro τόνδε F. – Post τρόπον addit κατασκευάζην (sic) τὴν ἐκ τῶν θυμιημάτων πυρίην τόνδε τὸν τρόπον G. – κύπαιρον θ. – ὕπερον (sic) F. – κύπερον vulg. – κατασῆσαι Cθ. – καταστῆσαι vulg. – σταφίδα, al. manu σκαφίδα D. – σχίνου DH. – σχῖνον K. – (Addit καὶ D) καρδάμου (καρδαμώμου θ) τε (τε om. D) vulg. – ἀννήθου θ. – ἀνίσου CDHJ. – ἀνήσου K. – μαράθρου D. — [6] δὲ παρασκευάσῃ

dans de l'huile, au moment de le mettre. Après la mondification, le lendemain, les émollients conviennent tant qu'il y a inflammation. Quand l'inflammation est passée, on applique les bâtonnets selon ce qui a été dit plus haut. Au reste on fait pour ce pessaire exactement comme pour le précédent. Si une seule application paraît suffire pour produire l'insufflation de l'utérus, on s'en tient là ; mais, s'il est encore quelque besoin, on applique de nouveau le pessaire de la même façon. Ensuite, quand l'opportunité paraît venue, on prépare la fumigation des aromates. Elle se prépare ainsi : triturer et tamiser cypérus une conque (0[litre],023), calamus odorant autant, jonc odorant autant, cardamome autant, graines de cumin d'Éthiopie, d'anis, de rue sèche, d'hypéricon et de fenouil ; quand on a préparé tout cela, on verse dans le vase six cotyles de vin astringent blanc très-odorant, on jette un quart de cotyle des substances broyées et on agite. Puis on ajoute un tiers d'obole de parfum égyptien aussi bon que possible, ou de l'excellente huile de marjolaine ou d'iris ; quand on verse, on agite. On fait une douce fumigation et on la prolonge autant qu'on peut ; on donne un bain auparavant, et on la répète pendant deux ou trois jours. Quand la fumigation est finie, on met un bouchon sur la fumigation, afin qu'elle ne s'évapore pas. Puis on use des bâtonnets et des plombs. Quand on a fumigé deux ou trois jours, on fait une interruption de deux ou trois jours ; dans ces jours intermédiaires on donne deux bains par jour. La femme

ταῦτα ἐς τὸν χ. οἴκου (sic) αὐστ. κ. ἓξ ὡς εὐ. ἐγχέαι λευκοῦ καὶ ἐπ. θ. – κατασκευάσῃς J. – εἰς vulg. – ἐς CDFHIK, Lind. – ἐπιπάσσαι FIJ. – τεταρτημόρον θ. — [7] καὶ om. K. – τριόβολον C. – κράτιστον pro ὡς βελ. θ. – ἠρίδανον pro ἴρινον C. – εἴρινον θ. – ὅταν δὲ ἐ., ἀν. om. θ. — [8] πυρίην (καὶ πυριῆν Lind. ; πυριᾶν δὲ θ) μαλθακὴν (μαλθακῇ θ, Lind.) τῇ (τῇ om. θ) πυρίῃ vulg. – πλέονα χρόνον ἡμέρας δύο, λούειν δὲ πρὸ τῆς πυρίης· ἐπὴν δὲ παύσηται θ. – πυριῆν δὲ (sine καὶ) ἡμέρας C. – ὅταν.... τὰς δὲ μεταξὺ om. L. – ἐπιθέματι CG. – ἐπιθήματι θ. – ἐπικεῖσθαι vulg. – ἐπικέεσθαι C. – ὅπως θ. — [9] τῷ μολίβδῳ χρῆσθαι θ. – τῇσι D. – μολίβδοισι DJK. – μολίβδεσι C. – ὅταν.... ἡμέρης om. θ. – ἡμέρας pro ἑτέρας J. — [10] δὲ om. C. – λούσασθαι C. – ἡμέρας pro ἡμέρης J. – πράσσα C. – ὠμὰ κ. ἑ. K. – Post ὠμὰ addit καὶ σισυμβρον (sic) θ. – ῥαφανίδας CDFGIKθ, Ald., Lind. – κάρδαμον θ.

ρης. Ἐσθίειν δὲ πράσα ἑφθὰ καὶ ὠμὰ καὶ ῥαφανῖδας καὶ κάρδαμα καὶ σκόροδα [1] ὀπτὰ καὶ ἑφθὰ, καὶ τὸ πόμα ἀκρητέστερον, καὶ τοῖσι θαλασσίοισι τοῖσι προειρημένοισι χρέεσθαι. [2] Ὅταν δὲ αἱ ἡμέραι διαλιπόμεναι παρέλθωσι, πυριῆν χρὴ ἐπιπάσαντα ὀλίγιστα ἑκάστου τῶν κεκομμένων ἐς τὴν ὑπάρχουσαν πυρίην, καὶ οἶνον [3] ἐπιχέαι· ἢν δοκέῃ δεῖσθαι, καὶ ἔλαιον, [4] καὶ τούτῳ πυριῆσθαι. Ὁκόταν δέ σοι δοκέῃ καλῶς ἔχειν [5] τῶν πυριῶν, καὶ τὸ στόμα μαλθακὸν εἶναι καὶ ἀνεστομωμένον ὡς χρὴ, καὶ αὗται αἱ ὑστέραι ἐγγὺς, μετὰ τὴν πυρίην τὴν ὑστέρην ἡμέρην προστιθέναι τὸ φάρμακον τὸ ξὺν τῇ σμύρνῃ· προσθετὰ [6] δὲ εἶναι δύο· μετὰ δὲ τὴν κάθαρσιν τῇ ὑστεραίῃ ἡμέρῃ τὰ μαλθακτήρια προστιθέναι, μέχρις ὅτου ἀποφλεγμήνωσιν αἱ ὑστέραι· [7] μετὰ δὲ τοῦτο τοῖσι δαιδίοισι καὶ μολυβδίοισι χρῆσθαι· τὴν δὲ δύναμιν τεκμαιρόμενον τοῦ σώματος, αὖθις ἀναπυριῆν ὡς γέγραπται· [8] ἢν μὲν δοκέῃ [ἡ] ἔτι ὑπάρχουσα πυρίη ἱκανὴ εἶναι, ἐς ταύτην ἐμβαλὼν τῶν θυμιαμάτων ὥσπερ τὸ πρότερον, καὶ οἶνον ἐπιχέων καὶ ἔλαιον· ἢν [9] δοκέῃ δὲ ἄχρηστος εἶναι αὕτη ἡ πυρίη, ἑτέρην ἐξ ἀρχῆς κατασκευάζειν. [10] Ὅταν δὲ προπυριάσῃς αὖθις τὸν αὐτὸν τρόπον, ὅνπερ πρότερον προεπυρίασας, προστιθέναι τὸ φάρμακον τὸ σὺν τῷ στέατι· ποιεῖν δὲ δύο τὰ προσθετὰ, καὶ προστιθέναι τὸν αὐτὸν τρόπον, ὅνπερ πρότερον· μετὰ δὲ τὰς προσθέσιας τῇ ὕστερον ἡμέρῃ κατὰ τὸν ἔμπροσθεν λόγον τὰ μαλθακτήρια προστιθέναι· τούτῳ δὲ τῷ φαρμάκῳ χρῆσθαι δι' ἡμέρας τετάρτης προπυριῶντα· [11] αἰεὶ δὲ

[1] Ἑ. κ. ὀπ. Cθ. – πῶμα (sic) ἄκρητον θ. – σιτίοισι pro τοῖσι προειρημένοισι θ. – χρῆσθαι θ. — [2] καὶ αὖτις pro ὅταν.... παρέλθωσι θ. – αἱ om. C. – διαλειπόμεναι CJK. – διέλθωσι J. – πυριᾶν θ. – ἐπιπάσσαντα CHIJK. – ὀλίγοστα C. – εἰς vulg. – ἐς CDH, Lind. — [3] ἐπιχέειν K. – καὶ ἔλαιον ἢν δοκέῃ δεῖσθαι θ. — [4] καὶ om. θ. – τοῦτο J. – πυριᾶν θ – ὅταν θ. — [5] τῆς πυρίης, καὶ τό τε στόμα θ. – ἐγγὺς αἱ ὑστ. C. – ἐγγὺς om. θ. – τῇ ὕστερον ἡμέρῃ CDHIK. – ἡμέρῃ J. – σὺν θ. — [6] δ' θ. – ὑστερέῃ C. – ἡμέρῃ om. DFGHIJKLθ. – πρὸς τὰ μαλθ. J. – καὶ (καὶ om. θ) μέχρις (μέχρι θ) vulg. – ἀποφλεγμαίνωσιν G. — [7] καὶ pro μετὰ δὲ τοῦτο θ. – καὶ μολ. om. θ. – μολιβδίοισι CDJK. – χρῆσθαι (χρέεσθαι L, Lind.)· μετὰ δὲ ταῦτα διαλιπεῖν ἡμέρας ὡς (ὅσας C) ἂν δοκέῃς εἶναι τὰς φλεγμασίας ἀποσκεπτόμενον (ἀποσκηπτόμενον CDFGJ) τῶν ὑστερέων (μετὰ.... ὑστερέων om. θ), καὶ τὴν (τὴν δὲ θ) δύναμιν vulg. – Cette phrase de vulg. n'est pas correcte; pour la corriger, il faudrait quelque conjecture. Je préfère la supprimer avec θ, cette suppression ne faisant aucun dommage au sens. – τεκμαιρόμενος K. – αὖτις ἀναπυριᾶν θ. — [8] ἢν.... ἔλαιον om. θ. – δοκέει J. – J'ai ajouté [ἡ] entre crochets. – ἐς τ' αὐτὴν C. –

mangera des poireaux bouillis et crus, des radis, du cardame (*erucaria aleppica*), de l'ail grillé et bouilli; elle boira du vin pur, et prendra à son repas les poissons de mer indiqués plus haut. Quand les jours d'interruption sont passés, on fait la fumigation en jetant très-peu de chacune des poudres dans la fumigation qui a déjà servi, et on y ajoute du vin, et, si besoin en est, de l'huile; et l'on fait ainsi la fumigation. Quand les fumigations semblent avoir bien opéré, que l'orifice utérin paraît souple et ouvert comme il faut, et l'utérus lui-même s'être approché, on met, le jour suivant, après la fumigation, le pessaire à la myrrhe; on en a deux; après la mondification, le lendemain, on applique les émollients jusqu'à ce que l'inflammation soit dissipée; puis on use des bâtonnets et des plombs. Prenant en considération la force du sujet, on fumige de nouveau comme il a été dit. Si la fumigation qui se trouve toute préparée paraît encore bonne, on y jette des parfums comme précédemment, du vin et de l'huile; si elle ne paraît plus bonne, on en prépare une à nouveau. Quand on a fumigé de rechef de la même façon qu'on avait fait précédemment, on applique le pessaire avec la graisse; on a deux de ces pessaires, et on les met de la même manière que plus haut. Après les applications, le lendemain, on applique les émollients d'après la règle susdite. On se sert de ce médicament tous les quatre jours, après avoir administré une fumigation; il doit toujours être récemment préparé pour chaque application; on s'en sert jusqu'à ce qu'il vienne une humeur sangui-

ἐκβαλὼν CFGHIJK. – θυμ. om. C. — [9] δὲ δοκέῃ ἡ πυρίη εἶναι φλαῦρος θ. – δοκέῃ δὲ (δὲ om. C) αὐτὴ (αὐτὴ om. J; αὕτη C) ἄχρηστος εἶναι (addit αὕτη J) ἡ πυρίη vulg. – ἀρχῆθεν (sic) pro ἐξ ἀρχῆς θ. – παρασκευάζειν G. – ποιέειν θ. — [10] ὅταν δὲ προπυριάσῃς αὖτις τὸν αὐτὸν τρόπον ὅνπερ πρότερον προεπυρίασας, προστιθέναι τὸ φάρμακον τὸ σὺν τῷ στέατι· ποιεῖν δὲ δύο τὰ πρόσθετα, καὶ προστιθέναι τὸν αὐτὸν τρόπον, ὅν περ πρότερον· μετὰ δὲ τὰς προσθέσιας τῇ ὕστερον ἡμέρῃ κατὰ τὸν ἔμπροσθεν λόγον τὰ μαλθακτήρια προστιθέναι· τούτῳ δὲ τῷ φαρμάκῳ χρῆσθαι δι' ἡμέρας τετάρτης προπυριῶντα θ. – ὅταν.... προπυριῶντα om. vulg. — [11] δεῖ (αἰεὶ pro δεῖ θ) δὲ vulg. – νεογμὸν K. – μέχρι ἂν ὑφ. μὴ καθαίρηται θ. – ὕφασμα (F, al. manu) G.

νεοχμὸν ποιέειν τὸ φάρμακον ἐφ' ἑκάστῃ προσθέσει, μέχρις ὅτου ὕφαιμα καθαίρηται· [1] ὅταν δὲ τοιαῦτα καθαρθῇ, πεπαύσθω. [2] Διαιτῆν δὲ τῷδε τῷ τρόπῳ· ἀνερωτᾷν ἐν ὁκοίῃσιν ἡμέρῃσιν αὐτέῃ ἐγίνετο τὰ [3] καταμήνια· ἀπὸ τουτέων ἀρξάμενος διαιτῆν τῇδε τῇ διαίτῃ· πρῶτον μὲν λουέσθω πολλῷ θερμῷ, πλὴν τῆς κεφαλῆς· [4] ὅταν δὲ παύσηται, δοῦναι τυρὸν δριμὺν καὶ πήγανον οἴνῳ διέντα μέλανι, ἴσον ἴσῳ κεκρημένον· [5] ἔπειτα αὐτὸν ἄλφιτα ἐπιπάσαντα δοῦναι πιεῖν ἐκ τοῦ λουτροῦ εὐθέως· [6] εἶτα ἄριστον δοῦναι ἐν καιρῷ, ἐσθίειν δὲ μάζην ἢ ἄρτον καὶ πράσα ἑφθὰ [7] ἢ ὠμὰ, καὶ τῶν ὁμοιοτρόπων δριμέων πάντων τῶν προγεγραμμένων, καὶ ἔτνος ἄλλοτε καὶ ἄλλοτε, τὸν δὲ ἀφρὸν μὴ ἀφαιρέειν, καὶ σίλφιον πουλὺ [8] ἐγκλῶντα, καὶ σκόροδα ἐγκαθεψῶντα πολλὰ, ὄψοισι δὲ χρῆσθαι τῶν ἰχθύων τοῖσι σελάχεσι πᾶσιν ἑφθοῖσιν ὀξυγλύκεσι, [9] βολβιδίοισι, [10] σηπιδίοισιν ἐν οἴνῳ καὶ ἐλαίῳ, φύλλον ὑποτετριμμένον πίνειν [11] ὡς πλεῖστα, καὶ ἐσθίειν ὡς πλεῖστα καὶ ἐπ' ἀρίστῳ [12] καὶ ἐπὶ δείπνῳ· λούεσθαι δὲ μετὰ τὸ δεῖπνον, [13] ὅταν μέλλῃ ἀναπαύεσθαι. Ταύτῃ τῇ διαίτῃ μέχρι ἡμερῶν πέντε ἢ ἓξ χρεέσθω· μετὰ δὲ ταύτας τὰς ἡμέρας πρωῒ μὲν διδόναι νήστει ἀκτῆς καρπὸν ὅσον πυρῆνας ἓξ ἐν οἴνῳ ἀκρήτῳ καὶ σηπίης ὠὰ ὅσον δέκα ἢ δυοκαίδεκα· ταῦτα τρίψαντα ὁμοῦ λεῖα πρωῒ διδόναι νήστει πίνειν, καὶ μετὰ τὴν πόσιν ἐπισχοῦσαν λούεσθαι, καὶ πιεῖν τὸ πήγανον καὶ τὸν [14] τυρὸν, καὶ οὕτως ἀριστᾷν τι τῶν προγεγραμμένων· δειπνεῖν δὲ ὀψιαίτερον, λούεσθαι δὲ χρὴ δὶς τῆς ἡμέρης· αὕτη ἡ δίαιτα [15] ἴτω μέχρις ἡμερέων τρισκαίδεκα ἢ τεσσαρεσκαίδεκα. Ὅταν δὲ αὗται αἱ ἡμέραι παρέλθωσι, κατάποτα ποιέειν ἐκ τοῦ ὀποῦ τοῦ

[1] Ὅταν θ. – ῆν vulg. — [2] Ante δ. addit ὅταν δὲ παύσηται θ. – διαιταν (sic) τούτω τῶ θ. – διαιτεῖν C. – ἀνερρωτᾶν C. – δὲ (δὲ om. Jθ) ἐν vulg. – ποίησιν θ. – αὐτῇ vulg. – αὕτη θ. – αὐτέῃ CDFGHIJKL. – ἐγίνετο θ. – γέγονε DH. – ἐγένετο vulg. — [3] ἐπιμήνια θ. – διαιτᾶν Cθ. – λοῦσθαι θ. – λούεσθαι C. — [4] ὅταν δ' οὖν π. L. – οἶνον G. – κεκρημένω D. — [5] ἐπὶ ταὐτὸν C (θ, τοῦτον). – ἐπιπάσσαντα CDHIJK. – πιεῖν δοῦναι C. — [6] εἶτ' θ. – μᾶλλον pro ἐσθίειν δὲ θ. – μάζαν CJ. — [7] καὶ pro ἢ Cθ. – ὁμοτρόπων FGJ. – ὁμοοτρόπων (sic) HI. – πάντων τ. πρ. om. θ. – καὶ ἄλλοτε θ. – καὶ ἄλ. om. vulg. – πολὺ Kθ. – πουλὺν G. — [8] ἐνκλῶντα θ. – ῥινῶντα vulg. – ἐγκαθέψοντα C. – χρήσθω L. – τῶν ἰχθ. om. Cθ. – τοῖς θ. – [ἐν] ὀξυγλ. Lind. – ὀξυγλαύκεσι (sic) CI. – ὀξυγλαύκοισι K. – ὀξυγλύνκεσι Q'. — [9] μολυβδίοισι FG. – μολιβδίοισι J. – βολβικιοδίοισι (sic) Ald. – σηπιδίοισί [τε καὶ] pro βολβ. Lind. – Post βολβ. addit πολυποδίοισι vulg. – J'ai supprimé ce mot, qui n'est qu'une glose, passée dans le texte, de βολβιδίοισι. — [10] σηπιδίοισιν θ. – σηπ. om. vulg. – φύλλον [δὲ] Lind. –

nolente; quand une telle humeur apparaît, on cesse. Le régime est ainsi réglé : on demande à la femme à quels jours ses règles sont venues; partant de ce point là, voici le régime qu'il faut suivre. D'abord la femme se lavera avec beaucoup d'eau chaude, sauf la tête; ainsi lavée, elle prendra du fromage âcre et de la rue mouillée avec du vin noir mélangé de partie égale d'eau; on saupoudre cette préparation avec de la farine d'orge, et elle la boit immédiatement après le bain. Puis on lui donne son déjeuner en temps convenable. Elle mangera de la polenta ou du pain, des poireaux bouillis ou crus, et toutes choses semblables, âcres et signalées plus haut, des purées de temps en temps dont on n'ôte pas l'écume, beaucoup de silphion concassé, de l'ail en abondance bouilli; pour plats elle aura des poissons cartilagineux, tous bouillis dans une saumure douce, de petits poulpes et de petites sèches dans un mélange de vin et d'huile; elle boira autant qu'elle pourra de feuille de silphion pulvérisée; elle mangera autant qu'elle pourra tant au déjeuner qu'au dîner. Elle prendra un bain après le dîner, au moment de s'aller coucher. Elle suivra ce régime pendant cinq ou six jours; après ce temps, elle prendra à jeun, le matin, de la graine de sureau, six grains dans du vin pur, et dix ou douze œufs de sèche; on broye le tout ensemble, et on le fait boire le matin à jeun. Après ce breuvage, elle laisse

ὑποτετ. Cθ. – ἀποτετ. vulg. — [11] ὡς πλεῖστα θ. – ὡς πλ. om. vulg. — [12] καὶ om. C. – λοῦσθαι θ. — [13] ἔπειτα pro ὅταν.... ἡμέρας θ. – αὕτη ἡ δίαιτα C. – μέχρις J. – χρεέσθω om. C. – νηστι (sic) θ. – νήστει δι' ἀκτῆς C. – Cela se lirait : νήστιδι ἀκτῆς. – πυρρῆνας D. – πυρίνας vulg. – πυρῆνας Hθ, Lind. – ἓξ om. θ. – σιπίης FHIK. – σιπύης G, Ald. – δυόδεκα CFHIJK. – δυώδεκα Dθ. – λία θ. – πρωῒ διδόναι νήστει πίνειν, μετὰ δὲ τοῦτο τὸ φάρμακον διδόναι τὴν πόσιν, ἐπισχοῦσαν δὲ λούεσθαι, πιεῖν δὲ τὸ vulg. – πρωῒ διδόναι, καὶ μετὰ τὴν πόσιν ἐπισχοῦσαν λοῦσθαι, καὶ πιεῖν τὸ θ. — [14] τυρὸν, οὕτως (addit δὲ Lind.) ἀριστᾶν τὸν προγεγραμμένον τρόπον, δειπνεῖν vulg. – τυρὸν καὶ οὕτως ἀριστᾶν τι τῶν προγεγραμμένων, δειπνεῖν C (θ, γεγραμμένων). – λοῦσθαι δὲ χρὴ δὶς τῆς ἡμέρης· αὕτη ἡ δίαιτα θ. – λούεσθαι δὲ αἰεὶ τῆς ἡμέρης δὶς αὐτήν· ἡ δὲ (ἡ δὲ om. C) δίαιτα vulg. — [15] ἤτω DFHIKL, Lind. – ἴτω μέχρις om. Cθ. – ἡμερῶν vulg. – ἡμερέων Cθ. – τρεισκαίδεκα D. – ἢ τεσσ. om. CK. – δ' αἱ ἡμ. αὗται J. – διέλθωσι, καὶ καταποτα θ. – τοῦ ὀποῦ om. K. – τοῦτο τὸ πρῶτον θ. – ἄλλα (τἄλλα θ) τὰ vulg. – δ' ἡμέραι θ.

σιλφίου, ὅσον κύαμον, καὶ διδόναι τοῦτο πρῶτον· μετὰ δὲ τοῦτο τἄλλα τὰ προγεγραμμένα ποιέειν. Ὅταν δὲ ἡμέραι γένωνται πέντε καὶ εἴκοσιν [1] ἐν ταύτῃ τῇ διαίτῃ, τὰ μὲν ἄλλα ποιέειν κατὰ [2] ταὐτὰ, πρὸ δὲ τοῦ ἀρίστου, ὅταν μέλλῃ ἀριστᾷν, προτρῖψαι σκορόδου ἄγλιθας ὅσον τέσσαρας, καὶ τυρὸν δριμὺν ὅσον ἀστράγαλον, καὶ ἄλφιτα παραμῖξαι ὀλίγα, καὶ [3] ποιῆσαι μαγίδα, καὶ ταύτην πρῶτον καταφαγεῖν, πρὸ δὲ τοῦ δείπνου ἄκρητον ἐπιῤῥοφέειν, καὶ οὕτω σιτεῖσθαι· τὰ δ' ἄλλα τὴν αὐτὴν διαίτην διαιτῆν. Ὅταν [4] δὲ ἐννέα ἡμέραι ἢ δέκα γένωνται διάλοιποι ἐς τὸν χρόνον, διδόναι καὶ μετὰ τῶν ᾠῶν [5] καὶ τῆς ἀκτῆς κύμινον αἰθιοπικὸν, καὶ τοῦ κάστορος ὅσον ὀβολόν. Ὅταν δὲ ἡμέραι [6] λοιπαὶ δύο ἔωσι, τουτέων μὲν ἀπαλλαγῆναι πάντων τῶν πομάτων καὶ τῶν καταποτίων, [7] τὸ δὲ ξὺν τῇ δαιδὶ φάρμακον διδόναι λουσαμένῃ νήστει· μετὰ δὲ τὴν πόσιν τοῦ φαρμάκου διδόναι λινόζωστιν καὶ κράμβην ὁμοῦ ἑψῶντα ἐν ὕδατι, [8] ἡδύναντα ἐν ὀξυγλύκει καὶ ἁλσὶ καὶ σιλφίῳ καὶ ἐλαίῳ ἐπὶ τῷ ἀρίστῳ· [9] ταῦτα δίδου καὶ αὐτὰ τρώγειν καὶ αὐτὸν τὸν χυλὸν ῥοφέειν, καὶ τὸ πόμα ἀκρητέστερον πίνειν· ὄψοισι δὲ χρῆσθαι πουλυποδίῳ ἑφθῷ, ἢ σηπιδίοισι. Ταῦτα μὲν ἐπὶ τῷ ἀρίστῳ, [10] ἐπὶ δὲ τῷ δείπνῳ κρέας αἰγὸς, ἢ οἰὸς, ἢ ἀρνὸς δίεφθα, καὶ πράσα, καὶ τῶν ἄλλων δριμέων ὅ τι ἂν βούληται· λουσάσθω δὲ ἀπὸ τοῦ δείπνου. Αὕτη ἡ δίαιτα τὰς δύο ἡμέρας [11] τὰς ὑστάτας. Ἢν δὲ πρὸς τὴν δίαιταν ταύτην μὴ κατασπασθῇ τὰ ἐπιμήνια, τὸν ἐπιόντα μῆνα [12] τὴν αὐτὴν δίαιταν ἐξ ἀρχῆς

[1] Ὁρῶν vulg. – βλέπων C. – ὁρέων D. – ἄσταθμος vulg. – σταθμὸς C. – ἄσταθμος, mot d'ailleurs douteux, n'ayant pour appui que ce passage d'Hippocrate, doit être rayé des dict., si on n'en trouve pas d'autre exemple. – ἀλλ'.... ἐστιν om. J. – καθάρσιος DGHIK. – κάθαρσιν C. – καθάρσισι (sic) Ald. – καθάρσησι Frob. — [2] ἢ pro καὶ C. – ταῦτ' C. – θεραπείη CDHIK, Lind. – θεραπεία vulg. – ἐμμέρει F. – ἑκάστου C. – ἑκάστῳ vulg. — [3] τούτων vulg. – τουτέων D. – Post μαλθ. addit τὰς ὑστέρας, erasum al. manu HI. – καὶ ἄγ. om. (D, restit. al. manu) FGHIJK. — [4] χρὴ ponit ante τῶν C. — [5] καὶ ἀπὸ C. – οὗ om. CDFGHJK. – ἀποχρῆσθαι DFGJK. — [6] δεῖ χρῆσθαι CFHIJK. – δεῖ om. D. — [7] ἀποθ. vulg. – ὑποθ. CD. – δ' C. – δ' om. vulg. – ἢν (ἢ DFGH IJK) vulg. – εἰ C. – αἴρας (πυρὰς G; κρίθὰς DFHIJKQ') ἐκ τῶν κριθῶν (πυρῶν CDHIJKQ', Lind.) vulg. — [8] καὶ om. C. – τριβλίον C. — [9] ἐς om. J. — [10] περιθεῖσιν ἃ μαλθακῶς DFGHIJK. – καθίζεσθαι D. — [11] μὲν pro δὲ J. — [12] ταύτας C. – ὅπως C. — [13] νῆστιν C. — [14] [καὶ] κύμ. Lind. – συνεψῶν κυμίνῳ J.

dant à la complexion et à la force de la femme ; il n'y a pas de balance pour ces conditions ; et c'est d'elles qu'il faut prendre conjecture pour tenter, sur le corps entier, sur la tête, les purgations et les évacuations, sur la matrice les fumigations et les pessaires. Tels sont les éléments qui sont à votre disposition. Le traitement se sert tour à tour de chacun ; et, quel que soit celui que vous n'employez pas, il faut que, dans l'intervalle, la femme soit toujours sur la fumigation ; c'est la fumigation qui assouplit les parties et fait couler les humeurs. Quand vous cessez le traitement, les règles finissant, il faut tirer du sang du bras ; si elle est forte, des deux bras ; si elle est plus faible, de l'un des deux, cela suffit. J'ai exposé ailleurs le régime qu'il faut suivre dans de pareils traitements. Si vous voulez donner une fumigation, trier l'ivraie du blé, moudre fin, faire un feu très-doux de sarments, mettre dans une assiette, placer l'assiette dans un hemiecte (vase de 4[litres],32), disposer des chiffons tout autour afin que la femme soit mollement, et lui ordonner de s'asseoir sur l'hemiecte, écartant les jambes autant que possible. Si le traitement vous paraît suffisant en quatre mois, vous vous en tiendrez là ; sinon, examinez ce qu'il y a à faire, et défendez qu'elle n'ait des rapports avec son mari tout le temps qu'elle est en traitement. Dans la cure, elle boit de l'eau où des branches de pin ont macéré, à jeun, un cyathe, et elle a continuellement la sonde d'étain. Faire cuire du cotylédon (*cotyledon umbilicus*) dans de l'eau avec sel et cumin, et donner à prendre tiède en potage. Le cotylédon large paraît procréer des filles ; le cotylédon petit et serré (*saxifraga media Gouan*, d'après Fraas), des garçons.

231. (*Recette pour la conception.*) Excellent moyen pour la conception : donner à une femme de la nielle dans du vin noir astringent.

-χλιηρῶν vulg. - χλιηρὸν CDFGHIJK. - ῥοφῆν K. — [15] δοκοῦσιν vulg. - δοκεῦσιν C. - ξυμμ. CD. - συμμ. vulg. - ξυμμίουσαι H. — [16] ἐγχυητήριον DHI. - ἐγχυτήριον· ἄχρον μελανθίου vulg. - ἐγχυτήριον ἄχρον· μελάνθιον Corn., Foes in not., Lind.

232. Γυναικὶ [1] νέῃ ἐούσῃ ῥόος ἐρυθρὸς ὄχλεῖ, [2] καὶ φαρμακευομένῃ, κεφαλὴν καθαιρομένῃ, φλεβοτομουμένῃ, οὐδὲν ὠφελεῖ· δοκεῖ δὲ [3] τοῦτό οἱ αἴτιον εἶναι, ὥστε μὴ ξυλλαμβάνειν· [4] ἐδίδουν δὲ αὐτῇ ἀσπαλάθου τῶν ῥιζῶν ἐν οἴνῳ λευκῷ ἀποζεόμενον πρωῒ καὶ [5] πρὸς δείπνου, ὅ τε ῥόος ἐπαύσατο, καὶ οὐ βραδέως ἐκύησεν, ἔτεκεν ἄρσεν· τὸ χρῶμα λευκόχρως, εὔσαρκος.

233. Περὶ μύλης. Περὶ δὲ μύλης κυήσιος τόδε αἴτιον· ἐπὴν [6] πολλὰ τὰ ἐπιμήνια ἐόντα γονὴν ὀλίγην καὶ νοσώδεα ξυλλάβωσιν, οὔτε κύημα ἰθαγενὲς γίνεται, ἥ τε γαστὴρ πλήρης, ὥσπερ κυούσης· κινεῖται δ' οὐδὲν ἐν τῇ γαστρὶ, οὐδὲ γάλα ἐν τοῖσι τιτθοῖσιν ἐγγίνεται· σφριγᾷ [7] δὲ τὸ στῆθος αὐτῇ· καὶ δύο ἔτεα, πολλάκις δὲ καὶ τρία οὕτως ἔχει. Καὶ ἢν μὲν μία σὰρξ γένηται, ἡ γυνὴ ἀπόλλυται· οὐ γὰρ οἵη τέ ἐστι περιγενέσθαι· ἢν δὲ [8] πολλαὶ, ῥήγνυται αὐτέῃ κατὰ τὸ αἰδοῖον αἷμά τε πολὺ καὶ σαρκῶδες· καὶ ἢν μὲν μετριάσῃ, σώζεται· ἢν δὲ μὴ, ὑπὸ ῥόου ἁλοῦσα ἀπόλλυται. Τὸ μὲν νόσημα [9] τοιοῦτόν ἐστι· κρίνεσθαι δὲ χρὴ τῷ πληρώματι, καὶ ὅ τι οὐ κινεῖται ἐν τῇ γαστρί· τὸ μὲν γὰρ ἄρσεν τρίμηνον, τὸ δέ γε θῆλυ τετράμηνον τὴν κίνησιν ἔχει· ἐπὴν οὖν τοῦ χρόνου παρελθόντος μὴ [10] κινῆται, δηλονότι τοῦτό ἐστι· τὸ [11] δέ τι τεκμήριον μέγα, ἐν τοῖσι τιτθοῖσι γάλα οὐκ ἐγγίνεται. [12] Ταύτην μάλιστα μὲν μὴ ἰῆσθαι· εἰ δὲ μὴ, προειπόντα ἰῆσθαι. [13] Καὶ πρῶτα μὲν πυριῆσαι τὴν γυναῖκα ὅλον τὸ σῶμα, ἔπειτα κατὰ τὴν ἕδρην κλύσαι ὅπως διακαθήρῃ· [14] πουλὺ γὰρ ἴσως κλύσας ἂν κινήσειε τὸ ἔμβρυον τὸ δοκέον εἶναι τὸ ξυνεστηκὸς, διαθερ-

[1] Νέᾳ vulg. – νέῃ J. – ναίᾳ C. – οὔσῃ vulg. – ἐούσῃ HI. — [2] καὶ om. C. – καὶ φλεβ. J. – φλεβ. om. C. — [3] τουτέου sine οἱ C. — [4] ἔδει δὲ τὸ αὐτῆς τῆς ἀσπ. (D, al. manu ἐδίδου δὲ αὐτῇ) FGHIJK. – ἐδίδοτο αὐτῇ τῆς ἀσπ. C. – ἐδίδου τὸ αὐτῆς τῆς ἀσπ. Ald. – ἔδει δὲ τὸ αὐτῆς L. — [5] πρὸ vulg. – πρὸς CFGIK, Ald., Frob., Lind. – ἄρρεν C. – σῶμα pro χρῶμα Foes in not., Lind. – ἔνσαρκος J. — [6] πουλλὰ D. – δὲ C. – ἐν τ. τιτθ. om. J. – τῇσι C. — [7] δὲ τοὺς τιτθοὺς (τοῦ στήθους, D al. manu τοὺς τιτθούς, FGHIJK; τὸ στῆθος J, Foes in not., Lind.) αὔτη (αὐτῇ, D al. manu αὔτη, FGHIJK, Foes in not., Lind.) vulg. — [8] πολλὰ vulg. – πολλαὶ Foes in not., Lind. – ἅμα (αἷμά L, Cornar., Foes in not., Lind.) τε vulg. – πουλὺ CDH. — [9] τοῖον C. – οὐ om. (D, restit. al. manu) FGHIJ. – γὰρ om., restit. al. manu D. – γε om. CJ. – τὴν κίν. τετρ. C. — [10] κινεῖται vulg. – κινῆται J. – τοῦτ' C. — [11] δ' ἔτι J. – μέγα τεκμ. K. — [12] ταύτῃ K. — [13] καὶ.... γυναῖκα om. (D, restit. al. manu) FGHIJK. – καὶ π. μ. πυρ. om. C. – ὅλην C, Ald. – διακαθαίρῃ K. — [14] πολλοὶ (πολλὸν D; πολλὺ K; πουλὺ C) γὰρ ἴσως κλύσασαν (πολλὰ γὰρ

232. (*Observation particulière à une malade de l'auteur, qu'un écoulement rouge empêchait de concevoir et qui fut guérie.*) Une femme jeune est tourmentée par un écoulement rouge; on l'évacue, on lui purge la tête, on la saigne, le tout en vain; cet écoulement semble être la cause qui l'empêche de concevoir. On lui donna, le matin et vers le dîner, une décoction, dans du vin blanc, de racines d'aspalathe (*genista acanthoclada*, DC.); l'écoulement cessa, et peu après elle devint enceinte; elle mit au monde un garçon. Sa couleur était blanche. Elle avait de l'embonpoint.

233. (*Des moles; voy.* § 71.) De la mole. Voici la cause de la formation des moles : quand les règles, copieuses, reçoivent une semence peu abondante et morbide, c'est un faux produit qui se forme; le ventre est plein comme si la femme était enceinte; mais rien ne s'y remue, et les mamelles n'ont pas de lait; mais le sein est turgescent. Cet état dure deux ans et souvent même trois. S'il n'y a qu'une seule chair, la femme succombe, car elle n'est pas en état de résister. S'il y en a plusieurs, il se fait par les parties génitales une éruption de sang abondant et charnu. Dans le cas où ce flux est modéré, elle réchappe; dans le cas contraire, elle est emportée par la métrorrhagie. Telle est cette maladie. On la reconnaît au genre de plénitude du ventre et à l'absence de mouvement dans l'abdomen; en effet, le fœtus mâle remue à trois mois, le fœtus femelle à quatre. Quand donc, ce terme passé, il n'y a pas de mouvement, c'est manifestement une mole. L'absence de lait dans les mamelles est aussi un signe important. Il ne faut pas se charger du traitement d'une telle malade; si pourtant on s'en charge, il ne faut le faire qu'en avertissant de la gravité. D'abord administrer à la femme une fumigation de tout le corps; puis faire par le siége une injection de manière à purger; car peut-être, une abondante injection purgative, échauffant la femme, provoquera l'expulsion de ce qui paraît être un

ἴσως ἂν κλύσας Foes in not., Lind.) κινήσειε vulg. – Pour κλυσάσαν je lis κλύσας ἄν. – δοκεῦν C. – διαθ. τῆς γ. om. C.

μανθείσης τῆς γυναικὸς ὑπὸ τοῦ φαρμάκου. Κλύζειν δὲ καὶ κατὰ τὰς μήτρας, [1] ὅκως αἷμα ἀγάγῃ· ἢν δὲ μὴ, προσθέτοισι χρῆσθαι τοῖσιν ἀπὸ τῆς βουπρήστιος ὡς ἰσχυροτάτοισι, καὶ πιπίσκειν τὸ δίκταμνον τὸ κρητικὸν ἐν οἴνῳ· εἰ δὲ μὴ, καὶ τὸν καστόριον ὄρχιν· καὶ ὄπισθεν αὐτῆς σικύην προσβάλλειν πρὸς τοὺς κενεῶνας, καὶ ἀφαιρέειν ὅτι πλεῖστον· πρόσβαλλε δὲ ὅτι [2] μάλιστα τεκμαιρόμενος κατὰ τὰς μήτρας.

234. Καθάρσιος· ὅταν μὴ γίνηται, ἤν τε ἐκ τόκου ἤν τε καὶ ἄλλως, [3] δαΐδα ὡς πιοτάτην κόψαντα λεπτὴν ἑψεῖν ἐν οἴνῳ λευκῷ, καὶ ἀποχρῆσθαι ὡς τρισὶ κυάθοισι. [4] Γλυκυσίδης κόκκοι τέσσαρες, κυμίνου αἰθιοπικοῦ σμικρὸν καὶ σεσέλιος πλέον, ἢ κεδρίδα· ἢν δὲ πνιγμοὶ ἔωσι, κάστορος [5] σμικρόν. Ἢν δὲ ἐκ τόκου καθάρσιος γινομένης μετρίης ἡ γαστὴρ μένῃ, ἢ καὶ [6] φυσᾷ ἀποκεκλεισμένη καὶ ὀδυνώδης γίνηται, ἤν τε ξὺν πυρετῷ ἤν τε ἄνευ πυρετοῦ, ὀποῦ σκαμμωνίης πέμπτον μέρος πόσιος ἢ σεσέλιος ἢ ἄλλου τινος τῶν εὐωδέων, καὶ πήγανον ἐν οἴνῳ λευκῷ. Ἢν δὲ μὴ βούληται πιεῖν, πρὸς τὴν ἕδρην ἄλειμμα ποιέειν, οἷον ἐκ χολῆς [7] ταυρείης καὶ μέλιτος καὶ λίτρου. Ἢν [8] δ' ἐκ διαφθορῆς καθάρσιος ὀδυνώδης ᾖ, καὶ τῶν εὐωδέων διδομένων μηδὲν ὑπακούῃ, καὶ πυρετοῦ ἐόντος, γάλακτος αἰγείου δύο κοτύλας ἀφεψεῖν, εἶτα ψυχθέντος τὴν γρηῦν ἀφελεῖν, [9] καὶ διηθήσας, μελικρήτου ὅσον τρίτον μέρος μῖξαι, ὅκως γλυκύτερον ἔσται· πιεῖν δὲ τρὶς νῆστιν. Ἢν δὲ μὴ παύηται ἡ ὀδύνη [10] μηδὲ ἡ κοιλίη ὑποχωρήσῃ, ἐς τὴν δείλην ἐν σκάφῃ ἐς θερμὸν ὕδωρ ἐγκαθισάτω· ὅταν δὲ διαπυριηθῇ, ἐξαναστήσαντα [11] κλύζειν ἐν οἴνῳ αὐστηρῷ μέλανι διεὶς

[1] Ὅπ. C. – ἀγάγης Foes in not., Lind. – εἰ CJ. – τοῖς C. – δίκταμον DHK. – καστόρειον DFGHJK. — [2] μάλιστα καθάρσιος τεκμαιρόμενος πρὸς τὰς μήτρας (τεκμ. κατὰ τὰς μήτρας καθάρσιος C, Ald. πρὸς pro κατά). Ὅταν γὰρ (γὰρ om. C) μὴ vulg. – Je prends l'arrangement de C et d'Ald. ; mais je mets un point avant καθάρσιος, supprimant γὰρ avec C. Un génitif pour titre n'est aucunement rare dans la Collection Hippocratique. — [3] δᾶδα J. – πιωτάτην FG, Ald., Frob. — [4] [ἢ] γλ. Lind. – πλεῖον vulg. – πλεῖστον J. – πλέον C. — [5] μικρὸν CK. — [6] φύσα HK. – φυσσᾷ J. – φῦσα C. – ἀποκεκλυσμένη C. – γίνεται vulg. – γίνηται CDFGHIJK. – ξυμπυρετῷ I. — [7] ταυρίης C. – νίτρου D. — [8] δὲ C. – διαφορῆς DHI. – διδόμενον vulg. – διδομένων C, Lind. – γυναικείου, al. manu αἰγείου D. – αἰγ. om. J. – ὑγρὴν (ὑγρὴν om., pro quo est spatium vacuum J) vulg. – γρὴν (sic) FHI. – γραῦν DQ'. – γρῆν K. – γρηῦν C, Lind. — [9] καὶ C, Lind. – καὶ om. vulg. – διηθείσας Ald. – ὅπως C. — [10] μηδ'

embryon formé. Faire aussi des injections dans la matrice, de manière à amener du sang ; sinon, se servir des pessaires au bupreste les plus énergiques, et donner à boire le dictame de Crète dans du vin ; sinon, le testicule de castor ; lui appliquer en arrière aux flancs une ventouse, et tirer du sang autant que possible ; l'appliquer, en prenant surtout en considération la situation de la matrice.

234. (*Recettes et traitement pour différents cas après l'accouchement, lochies ne coulant pas, douleur dans le ventre, etc.*) Pour la purgation : quand elle ne vient pas soit après l'accouchement, soit autrement, couper en petits morceaux des rameaux de pin aussi gras que possible, faire bouillir dans du vin blanc, et en donner, ce qui suffit, trois cyathes. Quatre graines de pivoines, un peu de cumin éthiopique, davantage de séséli ou des baies de cédros ; s'il y a des étouffements, un peu de castoréum. Si, après l'accouchement, la purgation ayant été convenable, le ventre reste gros, ou que des vents qui y sont renfermés y causent de la douleur, avec ou sans fièvre, suc de scammonée la cinquième partie d'une potion, ou du séséli, ou quelque autre plante aromatique, ou la rue dans du vin blanc. Si la malade ne veut pas boire, faire un onguent pour le siége, par exemple avec la bile de taureau, le miel et le nitre. Si, dans la purgation qui suit un avortement, il y a douleur, et qu'aucune des substances aromatiques administrées ne produise d'effet, agir ainsi même en cas de fièvre : lait de chèvre deux cotyles, faire bouillir, laisser refroidir, ôter la peau, passer, ajouter un tiers d'hydromel, pour que cela soit plus doux, et en donner trois fois à jeun. Si la douleur ne cesse pas et qu'il n'y ait pas d'évacuation alvine, elle prendra le soir un bain de siége dans de l'eau chaude ; quand la fomentation l'aura pénétrée, elle en sortira et prendra une injection utérine ainsi composée : vin noir astringent, coupé avec un mélange, par moitié, d'eau et

οἱ κ. C. – ὑποχωρίση J. – ὑποχωρήσει C. – σκάφει C. — [11] καὶ κλ. C. – χλιηρῶς vulg. – χλιηρῶ CH.

καὶ ὕδατι ἅπαξ, ἐλαίου ἥμισυ τὸ ὕδωρ, χλιηρῷ κλύζειν, καὶ ἐπικοιμηθήτω.

235. Προσθετὸν ὑστερέων, ἢν ξυμμεμύκῃ ἢ σκληρὸν ᾖ τὸ στόμα· [1]σῦκον λευκὸν ἐκκαθήρας, καὶ λίτρον αἰγύπτιον τὸ καθαρώτατον μίξας λεῖον τετριμμένον, πρόσθετον ποιῆσαι ὅσον κικίδα μὴ μεγάλην ἐν εἰρίῳ μαλθακῷ, ἐς [2]ἴρινον μύρον ἐμβάψασα προσθέσθω, ἤν τε τρεῖς ἤν τε πλείους ἡμέρας δοκέῃ· πυρίησις μετὰ τοῦτο ξυμφέρει ἐν εὐώδει· μετὰ δὲ μαλθακόν τι δεῖ προσθετὸν, ὅ τι ἰχωροειδέα ἄξει μάλιστα· μετὰ δὲ [3]λινόζωστις, ἢν ᾖ ἁπαλὴ, μύρῳ ῥοδίνῳ χρῆσθαι ἐν ὀθονίῳ ἐς ἡμέρην καὶ νύκτα. [4]Ἐπὶ τοῦ αὐτοῦ· χολὴν ταύρου [5]καὶ ἅλας ἀναζέσαι, καὶ θεῖον παραμίσγειν, ποιήσας πρόσμακρον μῆκος, ὡς μέγας πυρὴν, ψιλὸν προσθέσθαι ἐπὶ δύο ἡμέρας καὶ νύκτας, πρὸς αὐτὰς τὰς ὑστέρας· πάλιν λινόζωστιν μετὰ τοῦτο, ἐπιπάσσειν σμύρναν ἄκρητον μίξας, διεῖναι ῥοδίνῳ, καὶ μύρῳ ἰρίνῳ διαχρίεσθαι τὸ στόμα ὡς ἐσωτάτω. [6]Θεραπεία ἐπὶ τὸ αὐτὸ νόσημα· ἶριν εὐώδεα κόψας καὶ διασήσας χωρὶς, κυπείρου ἴσον, καὶ ἔκμαγμα ὅσον μαγίδα, οἴνῳ ἀνθοσμίῃ διεῖναι· εἶτα ἀλειμματῶδες ποιέειν, [7]καὶ ἐς σπλῆνας ἀλείψας μῆκος σπιθαμῆς, ἐς σμικρὴν σιπυΐδα ἐνθεὶς, ὅκως μὴ παραπνέῃ, προσθέσθω.

236. Ἢν δὲ [8]ἑλκωθέωσιν αἱ μῆτραι, ἢ τρηχυνθῇ τὸ στόμα, ἢ ὑπὸ προσθέτου τινὸς δηχθῶσιν, ἐν εἰρίῳ χρῖσαι στέαρ, καὶ ῥόδινον ἀλεῖψαι, [9]καὶ κηροῦ μικρόν.

237. Ὅταν ἴσχουσα ἐν γαστρὶ [10]διαφθείρῃ, τὸ δὲ ἔμβρυον μη-

[1] Σύκου D. – νίτρον D. – προσθετὰν G. – κηκίδα C. — [2] ἴρειον FGIJK, Ald. – εὔριον (sic), al. manu ἴρινον D. – εἴρινον H. – βάψασα (βάψας DGHJK; ἐμβάψασα C) προσθέτω (προσθέσθω C) vulg. — [3] λινοζῶστις vulg. – λινόζωστιν D. – ἡμέραν JK. — [4] καὶ pro ἐπὶ τ. αὐταῦ DFGHIJK. – ἄλλο C. — [5] καὶ om. F. – καὶ ἅλας om. C. – ἐπὶ τοῦ αὐτοῦ pro καὶ G. – ἄλλο pro καὶ DHIJK. – Post θ. addit λεῖον CDFGJK. – ποιήσας (ποι. om. vulg.; ποιῆσαι Lind.) C. – πρὸς μακρὸν μῆκος μέγα σπύρην (σπῦρ C; σπείρην Cornar., Foes in not., Lind.) ψιλὴν (ψιλὸν CDFGHI) vulg. – Je lis πρόσμακρον μῆκος, ὡς μέγας πυρὴν, et ψιλὸν, l'entendant *à nu, sans laine ou sans linge.* – [καὶ] προσθέσθαι Lind. – λινοζῶστιν vulg. – λινόζωστιν D. – ῥοδ. (ῥοδ. om. K) ἄκρῳ (ἀκ. om. C) καὶ vulg. – ἰρ. μύρω C. — [6] θερ.... νόσ. om. F. – ἄλλο pro θέρ.... νόσ. CDHIJKL. – κυπείραυ D. – κυπέρου vulg. – ἔκβαμμα (D, emend. al. manu) FGHIJKL. – Gal. Gl. : ἔκμαγμα, τό τε συνεστραμμένον φύραμα, καὶ τὸ κροκόμαγμα, ὡς ἐν τῷ Περὶ ἀφόρων. – λιῆναι C. — [7] καὶ om. C. – σπηθαμῆς I. – μικρὴν CFHJK. – προσθεὶς pro ἐνθεὶς C. — [8] ἑλκωθῶσιν vulg. – ἑλκωθέω-

d'huile ; injecter tiède en une seule fois. Elle dormira par là-dessus.

235. (*Recettes pour le cas où l'orifice utérin est fermé ou dur.*) Pessaire utérin, si l'orifice est fermé ou dur : figue blanche nettoyée, nitre d'Égypte très-pur, broyer, mélanger, faire un pessaire de la grosseur d'une noix de galle médiocre, dans de la laine molle ; on le trempe dans de l'huile d'iris ; on l'applique trois jours ou davantage, suivant le besoin. Une fomentation aromatique convient après cela. Ensuite, on emploie quelque pessaire émollient, qui provoquera surtout un écoulement d'humeur. Après quoi, employer la mercuriale, si elle est tendre, avec de l'huile de rose, dans un linge, le jour et la nuit. Pour le même cas : bile de taureau et sel, faire bouillir, ajouter du soufre, faire le pessaire allongé comme un gros noyau, et l'appliquer à nu, pendant deux jours et deux nuits, à la matrice même ; de rechef, la mercuriale après cela, la saupoudrer avec de la myrrhe pure, et mouiller avec de l'huile de rose ; enduire d'huile d'iris l'orifice utérin aussi avant que possible. Traitement pour la même maladie : piler de l'iris odorant, tamiser séparément, cypérus quantité égale, pâte de safran gros comme une magis (*sorte de petit gâteau*), mouiller avec du vin odorant, amener à la consistance d'onguent, enduire des compresses de la longueur d'un palme, mettre la préparation dans une petite boîte, afin qu'elle ne perde pas son odeur, et appliquer.

236. (*Orifice ulcéré ou irrité.*) Si l'utérus est ulcéré, ou l'orifice raboteux, ou irrité par quelque pessaire, enduire de la laine avec de la graisse, de l'huile de rose et un peu de cire.

237. (*Femme maigre outre mesure et ne pouvant pas aller au-delà du deuxième mois de grossesse. La restaurer.*) Quand une femme enceinte avorte à un mois, ne pouvant pas porter

σιν C. – τινὸς om. C. — [9] καὶ om. C. — [10] διαφθείσῃ (sic) C. – εἰς vulg. – ἐς C, Lind. – γίνηται DFJK. – φαρμακεύειν (φαρμακεύσαντα CDFHIJKQ') καὶ (καὶ om. CDFHIJK) παχ. vulg. – εἰς J. – τε om. D. – ἴσχωσιν vulg. – ἰσχύωσιν (H, al. manu), Foes in not., Lind.

νιαῖον, καὶ ἐκφέρειν ἐς τέλος μὴ δύνηται, καὶ λεπτὴ παρὰ φύσιν γένηται, ταύτην χρὴ καθήραντα τὰς ὑστέρας καὶ αὐτὴν φαρμακεύσαντα παχύνειν, οὐ γὰρ δυνήσεται ἐκφέρειν ἐς τέλος, ἔστ' ἂν ἑωυτήν τε ἀναλάβῃ καὶ αἱ ὑστέραι ἰσχύωσιν.

238. Ἢν δὲ [1] κυΐσκηται μὲν, διαφθείρῃ δὲ δίμηνα τὰ παιδία ἐς ἀκριβῶς τὸν αὐτὸν χρόνον καὶ μήτε πρότερον μήθ' ὕστερον, καὶ τοῦτο πάθῃ δὶς ἢ τρὶς κατὰ ταὐτὰ, ἢ καὶ πλείονα χρόνον γεγονότα κατὰ τὸν αὐτὸν τρόπον [2] τοῦτον διαφθείρῃ, ταύτης αἱ μῆτραι οὐκ ἐπιδιδοῦσιν ἐπὶ τὸ μέζον τοῦ παιδίου ἐν αὐτέῃσιν αὐξανομένου καὶ ὑπερβάλλοντος ἐκ τοῦ διμήνου ἢ τριμήνου ἐς τὸ πλέον· ἀλλὰ τὸ μὲν αὔξεται, αἱ δὲ μῆτραι οὐδὲν ἐπιδιδοῦσι· διὰ δὴ τοῦτο διαφθείρουσιν αἱ πολλαὶ ἐς τὸν αὐτὸν χρόνον. Ταύτην χρὴ κλύσαι τὴν [3] μήτρην, καὶ διαφυσῆσαι ὡς μάλιστα προσθέτοισι φαρμάκοισι τοῖσδε· τῆς σικυώνης τὴν ἐντεριώνην κόψαντα διασῆσαι, καὶ σίλφιον ὀλίγον, παραμῖξαι ὀλίγα ἐν πλείονι καὶ καθεφθοτέρῳ τῷ μέλιτι· τοῦτο περιπλάσαι περὶ μήλην, ποιέοντα τὸ πάχος ὅσον [4] μέλλει παραδέξασθαι ὁ στόμαχος, πρὸς τὸ στόμα τῆς μήτρης, καὶ ὦσαι πόῤῥω, ἕως ἂν περήσῃ ἐς τὸ [5] ἔσω τῆς μήτρης· ὅταν δὲ ἀποτακῇ τὸ φάρμακον, ἐξελεῖν τὴν μήλην, καὶ πάλιν οὕτω τὸ ἐλατήριον καὶ τῆς [6] κολοκυντίδος τῆς ἀγρίης ποιέων ὡσαύτως τῷ προτέρῳ προστιθέναι. Ἐσθιέτω δὲ τοῦτον τὸν χρόνον σκόροδα ὡς πλεῖστα, καὶ καυλὸν σιλφίου, καὶ τῇ ἄλλῃ διαίτῃ χρῆσθαι, ὁκοίη ἂν μέλλῃ φῦσαν ἐμποιῆσαι μάλιστα ἐν τῇ κοιλίῃ. Προστιθέσθω δὲ τὸ πρόσθετον διὰ τρίτης [7] ἡμέρης, ἕως ἂν δοκέῃ καλῶς ἔχειν· ἐνίοτε δὲ καὶ διὰ πλείονος· τὸ δὲ ὅλον, ὅκως ἂν προσίηται· τὰς δὲ μεταξὺ ἡμέρας μαλθακοῖσι χρῆσθαι. Ὅταν δὲ καταστήσῃ τοῖσι μαλθακτηρίοισι τὸ στόμα τῆς μήτρης, φανῇ τε τὰ ἐπιμήνια, ἐπιμείνασα, ὅταν ξηρὴ ἤδη ᾖ, μιγνύσθω τῷ ἀνδρί.

[1] Κυΐσκεται K. – διαφθείρηται D. – ταῦτα vulg. – ταὐτὰ CJ, Lind. – ἢ om. C. — [2] τοῦτο vulg. – τοῦτον CFGJK, Foes in not., Lind. – διαφθείρει vulg. – διαφθείρῃ CDFHIJK. – ἐπιδίδουσι (bis) HI. – ἐπιδιδόασιν (bis) J. – μεῖζον vulg. – μέζον DH. – αὐτέοισι C. – εἰς vulg. – ἐς C, Lind. – πλέον DFGI. – πλεῖον vulg. – αὐξάνεται C. — [3] μήτραν J. – καὶ J. – καὶ om. vulg. – προστέθοισιν ἢ φαρμ. vulg. – Je supprime ἢ, même sans mss, πρόσθετα φάρμακα étant une locution fréquente. – σικυόνης H. – ἐντεριόνην H. – παραμίξαντα J. – περιπλάσσαι FGI. — [4] μέλι GH. — [5] ἔξω vulg. – Lisez ἔσω. — [6] κολοκυνθίδος C. – ὁποίη C. – μέλλῃ CDHIJK. – μέλλοι vulg. – φύσσαν J. — [7] ἡμέρας J. – μήτρης, καὶ (καὶ om. C) φανῆται (φανεῖται K; φανῇ τε C) τὰ vulg. – μείνασα J.

à terme et étant maigre contre nature, il faut, après avoir purgé la matrice et évacué la femme, lui donner de l'embonpoint; car elle ne pourra pas arriver au bout de sa grossesse, tant qu'elle n'aura pas été restaurée et que l'utérus n'aura pas pris de la force.

238. (*Femme avortant régulièrement au deuxième mois. Explication de ce phénomène. Traitement.*) Si une femme devient enceinte, il est vrai, mais avorte à deux mois, juste à la même époque, ni plus tôt ni plus tard, si elle éprouve cet accident deux ou trois fois de la même façon, ou si même, allant plus loin dans sa grossesse, elle avorte encore semblablement, en ce cas la matrice ne se développe pas à mesure que l'enfant qui y est croît et passe de l'état de fœtus de deux ou trois mois à un plus grand volume. Mais, tandis qu'il grossit, la matrice ne s'étend pas. C'est pour cela que beaucoup font une fausse couche au même temps. On doit faire des injections dans la matrice et y produire surtout de l'air par les médicaments suivants mis en pessaire : intérieur d'une courge pilé et passé, un peu de silphion, incorporer un peu de ce mélange dans beaucoup de miel très-cuit, lui donner une consistance suffisante pour que le col utérin le reçoive, en mettre tout autour d'une sonde, porter à l'orifice et pousser profondément jusqu'à pénétration dans l'intérieur de la matrice; quand le médicament est fondu, on ôte la sonde; et de rechef, préparant de la même façon l'élatérion et le concombre sauvage, on applique de la même façon. La femme mangera, pendant ce temps, de l'ail autant que possible, de la tige de silphion, et usera, du reste, de tout le régime propre à engendrer le plus de vent dans le ventre. Elle se mettra le pessaire tous les trois jours, jusqu'à ce qu'elle paraisse être en bon état; parfois, à de plus longs intervalles; en somme, suivant qu'elle s'en accommodera; dans les jours intermédiaires elle usera des émollients. Quand les émollients ont réduit l'orifice utérin et que les règles ont paru, elle attend qu'elle soit complétement sèche et va auprès de son mari.

239. Ποιέειν δὲ [1]φῦσαν ἐν τῇ μήτρῃ ὅταν βούλῃ, σκορόδου μώλυζαν καὶ ὀπὸν σιλφίου παραμιγνύναι πρὸς τὰ προσθετά.

240. Καὶ ἥτις ἂν μὴ δύνηται διατελεῖν τοὺς δέκα μῆνας κύουσα, ἀλλὰ [2]διαφθείρῃ καὶ τοῦτο πάσχῃ πλεονάκις, ταύτης τὰς μήτρας καθαίρειν ὕδωρ, καὶ αὐτὴν φαρμακεύειν, ὅκως ὕδωρ καθαίρηται.

241. Ἢν δὲ κατέχουσα τὴν γονὴν μὴ κυΐσκηται, [3]ξυμβαίνει δὲ τοῦτο πλείστῃσι τοῦ στομάχου χανόντος τῆς μήτρης παρὰ φύσιν, τὰ ἐπιμήνια πλείω γίνεται τοῦ προσήκοντος καὶ ὑγρότερα, ὥστε τὸ ἀπὸ τῆς γυναικὸς μὴ ξυλλαμβάνεσθαι πρὸς τὴν τέκνωσιν, τήν τε τοῦ ἀνδρὸς γονὴν ἐπιοῦσαν διαφθείρεσθαι· γίνεται δὲ ταῦτα τοῦ τε σώματος καὶ τῶν μητρέων [4]νοσεόντων. Ἀλλὰ δεῖ ταύτῃ κατωτερικὰ διδόναι διαλείποντα, καὶ πυριῆν ὅλον τὸ σῶμα, καὶ τὰς μήτρας ὄξει καὶ θαλάσσῃ, μύλους διαπύρους ἐμβάλλοντα· ἐμβάλλειν δὲ ἐς τὸ πυρίημα κυπαρίσσου πρίσματα, καὶ δάφνης φύλλα κόψας χλωρῆς, καὶ πολυκνήμου αὐτοῦ [5]φύλλα· πυριῆν δὲ ὁκοῖον ἂν δοκέῃ καιρὸς εἶναι χρόνον· μετὰ δὲ τοῦτο ἐκλούσθω, ὄξει ἐνεψῶν λωτοῦ τορνεύματα, [6]καὶ ῥόδινον, καὶ πουλυκνήμου αὐτοῦ τὰ φύλλα· ἐπὶ τελευτῆς δὲ θυμιῆν, φλόμου φύλλα κόψας καὶ λωτοῦ τορνεύματα· ἔμπροσθεν δὲ πρὶν [7]ἐκλούσασθαι, θυμιῆσαι σμύρνῃ καὶ λιβανωτῷ, τρίψας ἴσον ἑκατέρου, καὶ μυρσίνης καὶ δάφνης φύλλα, ταῦτα [8]ἀναμίξας καὶ ἐπιβαλὼν ἐπὶ μαλθακὸν πῦρ, θυμιῆν νεοπυρίητον ἐοῦσαν δὶς τῆς ἡμέρης, πυριῆν νεόλουτον ἐοῦσαν, καὶ τῆς θυμιήσεως ὕστερον λουέσθω, καὶ τὸν στόμαχον καθιστάναι ἐς τὴν ἀρχαίην φύσιν· καὶ ἢν ἐξαρκέουσα ᾖ, πρό-

[1] Φύσσαν J. – τῇ om. C. – ὅταν δὲ (δὲ om. C, Foes in not., Lind.) β. (βούλει H) vulg. – ἐς σκόροδον (D, al. manu σκορόδου sine ἐς) HIJK. – μόλυζαν FGHIJK, Ald. — [2] διαφθείρει vulg. – διαφθείρῃ K. – πάσχει vulg. – Lisez πάσχῃ. – τῆς μήτρης (ἡμέρης pro μ. DFGHIK) (τὰς μήτρας C) vulg. — [3] σ. vulg. – ξ. C. — [4] νουσεόντων D. – δὴ pro δεῖ C. – διαλιπόντα C. – πυριᾶν C. – μήλας vulg. – μύλας DIK. – μύλους C. – ἐσβάλλοντα C. — [5] τὰ φ. D. – πυριᾶν C. – τοῦτον vulg. – τοῦτο C. – ἐκλούσθω C. – λούσθω vulg. – Gal. Gl. ἐκλούσθω, σημαίνει ποτὲ καὶ τὸ προσκλυζέσθω, ὡς ἐν τῷ Περὶ ἀφόρων καὶ τοῖς προσκειμένοις τοῖς Περὶ τῶν ἐν κεφαλῇ τρωμάτων. – καὶ ὄξει (ὄψει J) ἐνεψεῖν (ἐνεψῶν DFIJK, Ald.; ἐνέψων C) vulg. – Si l'on prend le participe, comme je crois qu'on doit le faire, cela oblige à supprimer le καὶ devant ὄξει. — [6] καὶ.... τορνεύματα om. J. – πουλυκνήμου I. – πουλύκνημον sine αὐτοῦ τ. φ. C. – φλομοῦ C. – κόψας.... φύλλα om. K. — [7] ἐκθύσασθαι (sic) J. – ἐκλύσασθαι (D, emend. al. manu) FG. – σμύρνης D. – λιβανωτοῦ CDHI. — [8] ἀμιξας (sic) D.

239. (*Moyen de produire de l'air dans la matrice.*) Lorsqu'on veut produire du vent dans la matrice, on mêle aux pessaires des gousses d'ail et du silphion.

240. (*Femme ne pouvant mener à terme sa grossesse. Pessaires.*) Dans le cas où une femme ne peut mener sa grossesse jusqu'au terme de dix mois, mais avorte et éprouve cet accident plusieurs fois, il faut mettre des pessaires utérins, qui évacuent l'eau, et administrer des purgatifs hydragogues.

241. (*Empêchement à la conception parce que l'orifice utérin est béant. Traitement.*) Une femme retenant le sperme ne devient pas grosse; cela arrive fréquemment quand le col utérin est béant outre mesure; les règles sont plus abondantes et plus aqueuses qu'il ne convient, de sorte que ce qui provient de la femme ne sert pas à la procréation, et que le sperme masculin qui survient se corrompt. Cet effet est produit par la maladie et du corps et de la matrice. En ce cas, il faut administrer, par intervalles, des médicaments qui évacuent par le bas, et donner au corps entier et à la matrice un bain de vapeur avec un mélange de vinaigre et d'eau de mer, à l'aide de grosses pierres incandescentes qu'on y jette. On ajoute à ce mélange fumigatoire de la sciure de cyprès, des feuilles vertes de laurier pilées, et des feuilles de polycnémon (*ziziphora capitata*). La fumigation est prolongée autant que le cas paraît le comporter. Après cela, la femme se lavera avec une décoction, dans du vinaigre, de sciure de lotos, d'huile de rose et de feuilles de polycnémon; elle finira par une fumigation avec des feuilles pilées de phlomos (*verbascum plicatum*, Sibth.) et de la sciure de lotos. Mais, avant de se laver, elle fera une fumigation avec myrrhe et encens, pilés à partie égale, et feuilles de myrte et de laurier; on mêle, on jette sur un feu doux, et on administre, deux fois par jour, la fumigation aussitôt après le bain de vapeur, lequel s'administre aussitôt après le bain.

– καὶ om. C. – δὶς om. DFJ. – πυριᾶν C. – νεόλουτον τ' (sic) ἐοῦσαν G. – καθεστάναι vulg. – καθιστάναι C. – εἰς C. – ἐξαρκέουσαν sine ἢ C.

σθεν [1] δὲ τούτων πάντων τάμνειν τὴν ἐν τῇ χειρὶ φλέβα τῇ ἀριστερῇ, καὶ οὕτω τἄλλα ποιέειν. Ἢν [2] δὲ ὁ μὲν στόμαχος οὕτως ἔχῃ, [3] τὰ δ' ἐπιμήνια μὴ ἴῃ, [4] ἢ φλαύρως, ἢ ἐπὶ τοὔλαττον, [5] πρὸς πλείονα κάθαρσιν τρέπεσθαι [6] πρὸς τοῖσιν ἄλλοισιν ἅπασι, καὶ οὕτω θεραπεύειν, καὶ προστιθέναι, ἢν δέῃ, καὶ ἐκ τῶν πρόσθεν λούων καὶ θυμιῶν καὶ ξηραίνων.

242. Ἢν δὲ γυνὴ ἐκτιτρώσκῃ ἀέκουσα καὶ μὴ θέλῃ ἐκβάλλειν, [7] πυροὺς πεφρυγμένους καὶ κατεληλεσμένους καὶ σταφίδα κεκομμένην λευκὴν, μελικρήτῳ γλυκερῷ ταῦτα διεὶς, ἐλαίου σμικρὸν παραχέων, νήστει πίνειν διδόναι· μετὰ δὲ, ῥαφάνου σπέρμα τρίψας καὶ ὄξος καὶ χηνὸς στέαρ, ταῦτα μίξας, ἐσθιέτω, καὶ προστιθέσθω δάφνης φύλλα τρίβουσα· μετὰ δὲ πινέτω ὀρίγανον [8] καὶ γλήχωνα καὶ ἄλφιτον ἐν ὕδατι, ἐπιπάσσουσα δάφνης φύλλα [9] κεκομμένα καὶ τετριμμένα λεῖα, κόμμι παραμίξας, [10] καὶ διεὶς ὕδατι, πίνειν διδόναι. [11] Ἄλλο· οἴος στέαρ καὶ χηνὸς ἄλειφα, καὶ μέλι ἐς τωὐτὸ μίξας καὶ τρίψας, ἐκλεικτὸν διδόναι. [12] Ἄλλο· σταφυλῖνον τρίβων ὡς λειότατον, καὶ γάλακτος ὑπόστασιν ἐν τούτῳ μίξας, χηνὸς στέαρ τήξας, ταῦτα ἐνεψήσας, διδόναι ῥοφεῖν. [13] Ἄλλο· ὀριγάνου φύλλα τρίψας ὡς λειότατα, ἢν μὲν ἔχῃ, χλωρῆς, εἰ δὲ μὴ, ξηρῆς, διεὶς ἐν ὕδατι, πίνειν διδόναι. [14] Ἄλλο· δάφνης καρπὸν τρίψας ὡς λειότατον, καὶ ὑὸς θηλείης στέαρ τήξας, καὶ μέλιτι ταῦτα ὁμοῦ πάντα μίξας καὶ τρίψας, ἐκλεικτὸν διδόναι. [15] Ἄλλο· σταφυλῖνον τρίβων ὡς λειότατον, ἐν οἴνῳ διεὶς κεκρημένῳ, πίνειν διδόναι.

243. Ἢν αἱ μῆτραι [16] μὴ κατέχωσι τὴν γονὴν, μόλυβδον καὶ λί-

[1] Δὲ est ici pour δή. - πάντων τούτων J. - ἀριστερᾶ CD. — [2] δ' C. - μὲν C. - μὲν om. vulg. — [3] καὶ τὰ ἐπ. J. - δ' om. G. - δὲ D. — [4] ἢ Cornar., Foes in not., Lind. - ἢ om. vulg. — [5] ἢ (ἢ om. Foes in not., Lind.) πρὸς vulg. — [6] πρὸς C. - πρὸς om. vulg. - ἅπασι om. C. - οὕτως vulg. - οὕτω J. - εἰ δέει C. — [7] πυρὸς G. - πυρὶ J. - κατεληλαμένους DFGHJK. - κατεληλασμένους vulg. - κατεληλεσμένους C. - ἐλαίω CJ. - μικρὸν J. - νῆστι C. - πιεῖν CDK. — [8] καὶ.... γλήχωνα om. G. - γλ. καὶ ὀρίγ. D. - γλίχ. HJ. - ἐν ὕδ. om. K. - ἐπιπάσουσα C. — [9] κόψας καὶ τρίψας C. - [τε] καὶ Lind. — [10] καὶ om. C. — [11] ἄλλο CDHIKQ', Lind. - ἄλλο om. vulg. - τὸ αὐτὸ vulg. - τωὐτὸ C. - ἔλλικτὸν vulg. - ἐκλικτὸν D. - ἐλικτὸν CH, Ald. - ἐκλεικτὸν Lind. - ἐλικτὸν J. — [12] ἄλλο CDHJK. - ἄλλο om. vulg. - σταφυλίνου FGHIJ. - ἐς τοῦτο C. - καὶ (καὶ om. C) χηνὸς vulg. - τήξας om. (D, restit. al. manu) FGIK. - ἀνεψήσας vulg. - ἐνεψήσας C. - ῥυφῆν K. - ῥυφεῖν DFGHI, Ald. — [13] ἄλλο CDHIK. - ἄλλο om. vulg. - ὀρυγάνου D. - τρίψας φύλλα vulg. - φ. τρ. C. - ἢν.... λειό-

C'est après la fumigation qu'elle se lave. On remet le col utérin en sa place régulière. Si la femme a suffisamment de force, on lui ouvre avant tout la veine du bras gauche, et du reste on agit comme il a été dit. Quand le col utérin est ainsi et que pourtant les règles ne vont pas, ou vont mal, ou vont moins, il faut, outre tout le reste, provoquer une purgation menstruelle plus abondante, traiter de la même façon, mettre, s'il est nécessaire, les pessaires, administrer comme il a été dit, bains et fumigations, et dessécher.

242. (*Recettes pour préserver de l'avortement.*) Quand une femme avorte malgré elle et sans vouloir se débarrasser de son fruit, prendre blé grillé et moulu et raisin blanc sec pilé, mouiller avec de l'hydromel doux, ajouter un peu d'huile, et donner à boire à jeun; après quoi, graine de raifort pilée, vinaigre et graisse d'oie, mêler et faire manger; la femme mettra en pessaire des feuilles de laurier pilées; ensuite, elle boira ceci : origan, pouliot, farine d'orge, saupoudrer avec des feuilles de laurier bien broyées, ajouter de la gomme, délayer avec de l'eau, et donner à boire. Autre : graisse de mouton, graisse d'oie, miel, mêler ensemble, broyer, et donner en éclegme. Autre : staphylinos (*daucus carotta et guttatus*, Sibth.) bien broyé, dépôt du lait, mêler ensemble, graisse d'oie fondue, faire cuire, et donner en potage. Autre : feuilles d'origan bien broyées, vertes si on en a, sinon, sèches, mouiller avec de l'eau, et donner à boire. Autre : baies de laurier très-bien pilées, graisse fondue de truie, miel, mêler le tout ensemble, triturer, et donner en éclegme. Autre : staphylinos bien broyé, mouiller avec du vin coupé d'eau, et donner à boire.

243. (*Recettes pour le cas où la matrice ne retient pas le*

τατον om. K. – ἔχει vulg. – ἔχῃ CDFGHIJ. — [14] ἄλλο CDHJ. – ἄλλο om. vulg. – θηλείας D. – ἐς τωὐτὸ pro ὁμοῦ C. – ξυμμίξας C. – ἐλλικτὸν vulg. – ἐλικτὸν CFGHI, Ald. – ἐκλεικτὸν Lind. – ἐκλικτὸν D. – ἑλικτὸν J. — [15] ἄλλο CDHIJQK'. – ἄλλο om. vulg. – σταφίλινον I. – σταφύλινον FGHJK, Frob. — [16] τὴν γ. μὴ κ. C. – μόλιβδον CDIJK. – ἢ pro ἥτις C.

θον ἥτις τὸν σίδηρον ἁρπάζει, ταῦτα τρίψας λεῖα, ἐς ῥάκος ἀπόδησον, [1] καὶ ἐς γάλα γυναικὸς ἐμβάψας προσθετῷ χρήσθω. [2] Ἄλλο· χαλκοῦ ἄνθος τρίψας, μέλιτι διεῖναι, καὶ προστιθέναι τοῦτο.

244. Ὅταν αἱ μῆτραι τοῦ ἀνδρὸς τὴν γονὴν ἐξερεύγωνται τρίτῃ ἡμέρῃ, [3] πᾶσα ἀνάγκη τῆς γυναικὸς, ἣν ταῦτα πάσχῃ, πώρου πεπληρωμένας εἶναι τὰς μήτρας, καὶ οὐ δύναται τοῦ ἀνδρὸς ἡ γονὴ ἐμμένειν ἐν τῇσι μήτρῃσιν, ἀλλὰ ἀποκλείεται, καὶ [4] διὰ τοῦτο οὐ δύναται κυῆσαι ἕως ἂν ὁ πῶρος ἐνῇ ἐν τῇσι μήτρῃσι. Τοῦ δὲ [5] πώρου ἥδε ἡ ἐξέλασις· πτερὰ λαβὼν ὡς ἐλάχιστα καὶ μαλθακώτατα, ξυνδήσας ὁμοῦ, τούτοισιν ἐπαλείφειν τὰς μήτρας, ὡς τοὺς ὀφθαλμοὺς ἐπαλείφουσιν, ὁμαλύνας τὰ πτερὰ, [6] ἅμματι ὡς λεπτοτάτῳ καταδήσας τὰ ἄκρα, εἶτα ῥοδίνῳ πολλῷ χρίσας αὐτὰ, ὑπτίην ἀνακλίνας, ὑπὸ τὴν ὀσφὺν μέσην ὑποθεῖναι προσκεφάλαιον, [7] προσθεῖναι τὴν μήλην, τὰ σκέλεα τανύσας τῆς γυναικὸς, καὶ διαστήσας τὸ μὲν ἔνθεν, τὸ δ' ἔνθεν, ἀναστρέφειν ἄνω καὶ κάτω τὴν μήλην, ἕως ἂν προκύψῃ· ἐπὴν δὲ ἴδῃς ἐν τῷ στόματι τῆς μήτρης, ἢν μὲν [8] μὴ προσίσχηται ἐν τῷ ἰσχίῳ καὶ ἐθέλῃ ἐπακολουθῆσαι, πάντων ἄριστον τοῦτο· ἢν δὲ [9] ἐνέχηται ἐν τῷ στόματι τῆς μήτρης, λαβίδι ὡς λεπτοτάτῃ προμηθευόμενος ἐξελκύσαι ἡσυχῇ καὶ μὴ βιαίως, καὶ μετὰ ταῦτα ξυγκοιμάσθω τῷ ἀνδρί.

245. Ἢν [10] κυούσῃ ἐπιφαίνηται, ὀνίδα ξηρὴν, μίλτον, ὄστρακον σηπίης τρίψας λεῖα, ἐς ῥάκος ἀποδήσας, προστιθέναι. [11] Ἄλλο· γλυκυσίδης τοὺς μέλανας κόκκους τρίβων ἐν οἴνῳ διδόναι πιεῖν κεκρημένῳ.

246. Ἢν [12] δὲ συνοῦσα ἀλγέῃ τὴν νειαίρην γαστέρα καὶ αἷμά οἱ

[1] Καὶ om. C. — [2] ἄλλο CDJ (HI, ἄλλο ὁμοίως). — [3] π. ἀν. om. JK. – ταύτη pro ταῦτα J. – πόρου J. – πλέας C. – ἀλλὰ.... μήτρῃσι om. G. — [4] διὰ τ. om. J. – τούτων vulg. – τοῦτο DHIK. – Post κυῆσαι addunt οὐδὲ μυκῆσαι DFHI JQ'; οὐδὲ μὴ κύσαι K; οὐδὲ μὴ κυήσῃ C. – οὗ pro ἂν DFHIJKQ'. – ἢν pro ἂν C. – πόρος J. – ᾗ pro ἐνῇ DFHIK. — [5] πόρου J. – ἥδε om. K. — [6] ῥάμματι ὡς λεπτοτάτω κατ. ἐπὶ τὰ C. – εἶτα om. C. – τὰ πτερὰ pro αὐτὰ C. – κεφάλαιον J. — [7] ὑποθεῖναι vulg. – προσθεῖναι C. – τανύσας FGHIK, Ald., Frob. – καὶ om. C. – διασείσας vulg. – διαστήσας DHJQ', Lind. – δὲ CJ. — [8] μὴ om. G. – ἐθέλει C. – ἐπακολουθεῖν C. — [9] ἐνδέχηται vulg. – ἐνέχηται Foes in not., Lind. – λεπτοτάτω D. – προμυθευόμενος C. – ἐξελκῆσαι vulg. – ἐξελκῦσαι CJ, Ald., Lind. – ἐξελκύσαι DFGHIK. – ἡσυχῆ I. — [10] κυήσῃ DFGHIK. – κυίσῃ J. – μίλτον repetit H. – σηπύης FG, Ald. — [11] ἄλλο CDHIJ. – ἄλλο om. vulg. – καρποὺς vulg. – κόκκους C. – κεκρ. διδ. πίνειν C. — [12] δὲ

sperme.) Si la matrice ne retient pas le sperme, prendre du plomb et la pierre qui attire le fer, bien triturer, nouer dans un chiffon, tremper dans du lait de femme, et mettre en pessaire. Autre : fleur de cuivre triturée, délayer avec du miel, et mettre en pessaire.

244. (*Empêchement à la conception parce que la matrice a des callosités. Traitement.*) Quand la matrice rejette la semence de l'homme le troisième jour, de toute nécessité la femme chez qui cela arrive a la matrice pleine de callosité, et la semence de l'homme, n'y pouvant rester, en ressort; c'est pourquoi la conception est impossible tant que la callosité subsiste. Voici le moyen de l'enlever : prendre des plumes très-petites et très-souples, les nouer ensemble, et faire, par ce moyen, des onctions à la matrice comme on en fait aux yeux; les plumes sont égalisées par le bout, qui est attaché par un fil très-fin, et on les a enduites de beaucoup d'huile de rose. La femme est couchée sur le dos; elle a un oreiller sous le milieu des lombes, les jambes étendues et écartées l'une de l'autre; alors on introduit la sonde et on la tourne en haut et en bas, jusqu'à ce que la callosité fasse saillie; quand on la voit à l'orifice utérin, si elle n'adhère pas à la hanche et qu'elle veuille suivre, c'est ce qu'il y a de mieux; mais si elle adhère à l'orifice utérin, on la saisit avec une pince très-fine et on l'attire avec précaution, doucement et sans violence; puis la femme dort avec son mari.

245. (*Recettes pour le cas où les règles se montrent chez une femme grosse.*) Si, chez une femme grosse, les règles se montrent, prendre du crottin d'âne sec, rubrique, os de sèche, bien triturer, nouer dans un chiffon et appliquer en pessaire. Autre : graines noires de pivoine pilées, donner à boire dans du vin coupé d'eau.

246. (*Recette pour la douleur dans le coït.*) Si dans le coït

om. C. – ἀλγέει vulg. – ἀλγέη CGIK. – νείαιραν vulg. – νειαιρὴν Lind. – νείαιρα (sic) F. – νείερα G. – νειαίρην DH. – λῖνον HJK. – βρύον vulg. – θρύον CFGH IJK, Ald. – χήνιον C.

φανῇ νεαρὸν, λίνον κόψας καὶ θρύον ἁπαλὸν καὶ χήνειον ἔλαιον, ταῦτα μίξας, οἴνῳ λευκῷ ὑδαρεῖ διεὶς, διδόναι πίνειν.

247. Ἢν αἱ μῆτραι [1] προέλθωσιν ἔξω τῆς φύσιος, πῦρ ἔχει μάλιστα μὲν τὰ αἰδοῖα καὶ τὴν ἕδρην, καὶ τὸ οὖρον [2] τρύζει κατ' ὀλίγον καὶ δάκνεται τὰ αἰδοῖα. [3] Ταῦτα πάσχει, ἢν ἐκ τόκου ἐοῦσα τῷ ἀνδρὶ παρακοιμᾶται. Ὅταν οὕτως ἔχῃ, μύρτα καὶ λωτοῦ πρίσματα ἑψήσας ἐν ὕδατι, καταθεὶς τὸ ὕδωρ ἐς τὴν [4] αἰθρίην, προσχείσθω ὡς ψυχρότατον [5] ἐς τὰ αἰδοῖα, καὶ τρίβων λεῖα προσπλάσσειν· ἔπειτα ὕδωρ πίνουσα φακῶν, μέλι καὶ ὄξος ξυμμίσγουσα, ἐμείτω, ἕως ἂν αἱ μῆτραι ἀνασπασθῶσιν· καὶ τὴν κλίνην ὑψηλοτέρην πρὸς ποδῶν κεῖσθαι· ὑποθυμιῆν δὲ [6] ὑπὸ τὰ αἰδοῖα κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας εὐώδεα· σιτίοισι δὲ χρήσθω ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι, καὶ τὸν οἶνον ὑδαρέα λευκὸν πινέτω, καὶ μὴ λουέσθω, καὶ τῷ ἀνδρὶ ξυγκοιμάσθω.

248. Ἢν δὲ παντάπασιν ἐκ τῶν αἰδοίων ἐκπέσωσιν, [7] ἐκκρέμανται οἷόν περ ὄσχη, καὶ ὀδύνη λαμβάνει· τοῦτο δὲ, ὅταν ἐκ τόκου ταλαιπωρήσῃ, ὥστε σεῖσαι τὰς ὑστέρας, [8] ἢ τῷ ἀνδρὶ ξυγκοιμᾶται ἐν τῷ λοχείῳ. Ὅταν οὕτως ἔχῃ, ψύγματα προστίθεσθαι πρὸς τὰ αἰδοῖα, καὶ τὰ ἔξωθεν ὑποκαθήρας, σίδιον ἐν οἴνῳ μέλανι οἰνώδει ἑψήσας, οὕτω περιπλύνας, εἴσω ἀπωθέειν· ἔπειτα μέλι καὶ ῥητίνην [9] ξυντήξας ἴσον ἑκατέρου, ἔγχει ἐς τὰ αἰδοῖα, καὶ κεῖσθαι ὑπτίην, ἄνω τὰ σκέλεα ἔχουσαν ἐκτειναμένην· κἄπειτα σπόγγον προσθεὶς, ἀναδῆσαι ἐκ τῶν ἰξύων· ἔστ' ἂν δ' οὕτως ἔχῃ, σιτίων δέον ἀπέχεσθαι, ποτῷ [10] τε

[1] Προσέλθωσιν C. – φύσηος C. — [2] κλύζει (D, al. manu τρύζει) FGHIJK, Vatic. Codd. ap. Foes. – στάζει L, Lind. – στάζει paraît en effet la bonne leçon; cependant voy. dans Érot., p. 352, τρύζειν, où Bacchius l'explique τὸ μετά τινος στροφώδους περιωδυνίας καὶ πρυθυμίας διαχωρεῖν. Les auteurs hippocratiques auraient-ils détourné ce mot, qu'on rencontre quelquefois avec οὖρον et qu'on suspecte à chaque fois, et l'auraient-ils appliqué aux ténesmes vésicaux? – καὶ κατ' DFGIJKQ'. — [3] τ. π. (τ. π. om. GQ') εἰς τὸ αὐτὸ πάθος (εἰς τ. α. π. om. C, Foes in not., Lind.) (ταῦτα π. εἰς τ. α. π. om. DFHIJK). Ἢν δὲ (δὲ om. C, Foes in not.) ἐκ vulg. – ἀνδρὶ μὴ (μὴ om. Foes in not.) παρ. vulg. – ὅταν om. (D, restit. al. manu) GIJK. — [4] ἕδρην vulg. – αἰθρίην L, Cornar., Foes in not., Lind. — [5] πρὸς C. – λεῖα om. DFGHIJK. – φακὸν vulg – φακῶν C, Foes in not., Lind. – μίσγουσα D. – ὑψηλοτέραν DHJK. — [6] ὑπὸ [μὲν] τὰ Lind. – καὶ λευκὸν J. — [7] ἃ κρέμανται, al. manu ἐκκρέμανται D. – ἐκκρίμνανται C. – περ om. D. – λαμβάνῃ DK. – σῆσαι DFGHIJK. – σεῖραι C. — [8] καὶ (ἢ C) vulg. – Ante ξ. addunt μὴ CFG HIJK, Ald. – λοχίῳ CD. – ὑποκαθῆραι ex err. typogr. Kühn. – σιδίην (sic)

la femme souffre au bas-ventre et que du sang récent se montre, lin et jonc tendre broyés, graisse d'oie, mélanger ensemble, mouiller avec du vin blanc coupé d'eau et donner à boire.

247 (*Matrice faisant saillie hors des parties naturelles. Description, traitement; voy.* § 143.) Si la matrice fait saillie hors des parties naturelles, du feu se fait sentir surtout à ces parties et au siége; l'urine n'est rendue que par gouttes et irrite les parties génitales. Cet accident arrive quand une femme, peu après l'accouchement, dort avec son mari. Dans ce cas, faire bouillir des baies de myrte et de la sciure de lotus dans de l'eau, exposer au serein, et employer en affusions, aussi froides que possible, sur les parties génitales; puis, broyant cela, le mettre en cataplasme. Après quoi, la femme, buvant de l'eau de lentille à laquelle on ajoute un mélange de miel et de vinaigre, vomit jusqu'à ce que la matrice soit retirée en haut. Son lit est plus élevé du côté des pieds. On fait des fumigations fétides sous les parties génitales, aromatiques sous les narines. Elle use d'aliments froids et très-émollients, boit du vin blanc coupé d'eau, ne prend point de bains et ne dort pas avec son mari.

248. (*Chute complète de la matrice. Traitement. Succussion par l'échelle; voy.* § 144.) Si la matrice sort complètement hors des parties génitales, elle pend comme un scrotum, et il y a douleur. Cela arrive, quand la femme, sortant de couches, se livre à quelque fatigue de manière à ébranler la matrice ou dort avec son mari pendant le flux lochial. Les choses étant ainsi, appliquer des réfrigérants aux parties génitales, laver les parties extérieures, faire bouillir une écorce de grenade dans du vin noir fort, laver avec cette décoction la matrice, et la repousser en dedans; puis faire fondre miel et résine, de chaque partie égale, et infuser dans les parties génitales. La femme

Lind. — [9] σ. vulg. – ξ. CDFHIJK. – ἔχει C. – εἰς J. – ὑπτίη C. – σκέλη vulg. – σκέλεα DK. – ἐντειν. J. – δέον om. C — [10] δὲ (τε C) vulg. – ἔστ' ἂν αἱ ἑπτὰ J.

ὡς ἐλαχίστῳ χρέεσθαι, μέχρις ἂν ἑπτὰ ἡμέραι παρέλθωσιν. Καὶ ἢν μὲν οὕτως ἐθέλωσιν ἰέναι· [1] εἰ δὲ μὴ, ἄκρας περιξέσαι τὰς μήτρας καὶ ἀποπλῦναι τῇ πίτυϊ ἑφθῇ· ἔπειτα πρὸς κλίμακα δήσας τοὺς πόδας, κρούειν κατὰ τὴν κεφαλὴν, καὶ τῇ χειρὶ ἐσωθέειν· ἔπειτα ξυνδήσας τὰ σκέλεα ἐπαλλὰξ, ἐῆν ἡμέρην καὶ νύκτα ἀτρέμα· διδόναι δὲ ὀλίγον χυλὸν πτισάνης ψυχρὸν, ἄλλο δὲ μηδέν· τῇ δὲ [2] αὔριον ἐγκατακλίνας ἐπὶ τὸ ἰσχίον, σικύην προσβάλλειν ὡς μεγίστην, καὶ ἐᾷν ἕλκειν πουλὺν χρόνον, καὶ ὅταν ἀφέλῃς, [3] κατακλίνας, ἐᾷν κεῖσθαι, καὶ μὴ προσφέρειν ἄλλο μηδὲν ἢ τὸν χυλὸν, ἔστ' ἂν ἑπτὰ ἡμέραι παρέλθωσιν· [4] σιτίοισι δὲ ὡς μαλθακωτάτοισι καὶ ἐλαχίστοισι χρήσθω· ἢν δὲ ἀποπατεῖν ἐθέλῃ, ἀποπατείτω ἀνακειμένη, [5] ἕως ἂν τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσιν· ἔπειτα ἀνίστασθαι καὶ περιέρχεσθαι ὡς ἐλάχιστα, καὶ μὴ λουέσθω, σιτίοισιν ὀλίγοισι χρήσθω, τὰ αἰδοῖα τοῖσι κακώδεσι θυμιήσθω, καὶ ἐπὴν ἄρχηται περιχωρέειν, τὴν σφενδόνην φορείτω.

249. [6] Ἐξαίρεσις τοῦ ἐμβρύου ἥδε· ἔμβρυον ἐπὴν ἐναποθάνῃ ἐν τῇσι γονῇσιν, ὀστεολογίῃ χρῆσθαι κατ' ὀλίγον, τὸ φαινόμενον κατὰ λόγον θραύοντα, δέρμα καταλείποντα προβολὴν τῷ σιδήρῳ.

[1] Ἢν J. – περιξέσας K. – πιτύῃ vulg. – πητύῃ K. – πίτυι C. – ἔσω θέειν G. – ξυμμίξας pro ξυνδ. DFGHIJK. – ἀπαλλὰξ F. – ἀπάλλαξαι (sic) GIJ. – ἀπαλλάξαι DK. – ἐπαλλάξαι CH. – ἐᾷν vulg. – ἐῆν C. – διδ. δὲ (δὲ om. CDFGHIJK) ὀ. χ. πτ. (πτισσ. DH), ψ. δὲ διδόναι (διδ. om. C) μηδὲν (ψυχρὸν, ἄλλο δὲ μηδὲν L) vulg. – Bonne correction. — [2] ἐπαύριον vulg. – αὔριον C. – καὶ ἀνέλκειν vulg. – Lisez ἐᾷν ἕλκειν. – πολὺν C. — [3] κατ., ἐγκεῖσθαι καὶ vulg. – κατ., ἐγκεῖσθαι ἔα καὶ Foes in not. – κατ., ἐᾶν κλεῖσθαι καὶ C. – Lisez κεῖσθαι. – μὴ C. – μὴ om. vulg. — [4] σιτίοισι.... λουέσθω om. J. — [5] ἔστ' ἂν C. – θυμιείσθω K. — [6] ἐξ. τ. ἐμ. om. FG. – δὲ τοῦ C. – τοῦ om. K. – ἐμβρύου (ἐμβρίου CD). Ἢν δὲ (ἥδε C) ἔμβρυον (addunt ἐπὴν CDGIJK) ἐναπ. (ἀποθάνῃ JK) vulg. – γονῇσιν ἐς τελεογονίην (ὀστεολογίῃ pro ἐς τ. C) vulg. – C'est la vraie leçon; voy. ὀστεολόγῳ, Des Mal. des F., I, p. 97, note 2. Ni Cornarius ni Foes n'ont traduit ces dernières lignes; elles étaient en effet inintelligibles avant la restitution fournie par C. – δέρεον vulg. – τὸ δὲ ῥέον K. – δέρμα C. – Comme δέρεον est un mot suspect, qui n'a d'autre appui que ce passage même, il doit être effacé des dictionnaires. – καταλιπόντα vulg. – καταλίποντα (sic) I. – καταλείποντα DK. – προσβολὴν C.

reste couchée sur le dos, ayant les jambes étendues et élevées. Puis on applique une éponge, maintenue à l'aide d'un bandage mis aux lombes. Tant que les choses sont ainsi, il faut s'abstenir d'aliments, boire aussi peu que possible, jusqu'à ce que sept jours soient passés. Si de cette façon la matrice veut rentrer, il n'y a rien de plus à faire; sinon, on en racle l'extrémité et on la lave avec une décoction de branches de pin; puis, attachant les pieds à une échelle, on pratique la succussion du côté de la tête et on repousse l'utérus avec la main. Après quoi, on fait croiser les jambes, on les attache ensemble, et on fait garder l'immobilité pendant un jour et une nuit. On donne froide un peu de décoction d'orge passée, et rien autre. Le lendemain, on la fait coucher sur la hanche, et on applique une très-grande ventouse qu'on laisse tirer longtemps. Quand on l'ôte, la femme se remet sur le dos et reste tranquille. On ne fait rien prendre que la décoction d'orge filtrée, jusqu'à ce que sept jours soient écoulés. La femme use de très-peu d'aliments et très-adoucissants. Si elle veut aller à la selle, elle se met sur son séant, jusqu'à ce que quatorze jours soient passés. Puis elle se lève et marche le moins possible; elle ne prend point de bains, use de peu d'aliments, fait des fumigations fétides aux parties génitales, et, quand elle commence à marcher, porte un bandage en fronde.

249. (*Extraction du fœtus mort. Ceci n'est qu'un fragment qui se trouve tout au long dans le livre* des Maladies des femmes, § 70, *et dans le livre* de la Superfétation, § 7.) Voici comment se fait l'extraction du fœtus : quand un fœtus est mort dans la matrice, se servir peu à peu du procédé par le crochet à os, brisant à mesure ce qui paraît, et laissant la peau protection contre les ferrements.

FIN DU LIVRE DES FEMMES STÉRILES.

ΠΕΡΙ ΠΑΡΘΕΝΙΩΝ.

DES MALADIES DES JEUNES FILLES.

ARGUMENT.

Il est certain que l'auteur des livres sur les *Maladies des femmes* avait composé un traité sur les maladies des jeunes filles; car il cite deux fois ce traité dans le premier livre : « Chez quelques femmes les règles se tournent vers le siége, comme je l'ai dit dans les maladies des jeunes filles[1]; » et : « Dans le cas où les lochies se portent en haut, la femme éprouve les accidents qui ont été exposés au sujet de la jeune fille à qui la première éruption des règles s'est portée en haut[2]. » Mais de ce traité, nous n'avons qu'un très-court fragment, où les deux passages cités par l'auteur ne figurent pas. J'ajoute, pour dire tout ce qu'on sait sur l'histoire de ce fragment, qu'il est mentionné dans le Glossaire de Galien : une correction suggérée par une leçon du ms. C, substitue à φωνέει, φονᾷ, qui est interprété dans ce Glossaire. Ainsi, en tenant compte du travail sur les affections des jeunes filles, on voit que l'auteur des *Maladies des femmes* avait étendu de tous côtés l'investigation du sujet choisi par lui. Dans une phrase, expliquant que le sang se porte sur le cœur et le diaphragme, et cause ainsi la torpeur, le délire, il semble par là se rattacher à ceux qui plaçaient l'intelligence dans le diaphragme et le cœur. Cela est en contradiction avec l'auteur de la *Maladie*

[1] Ἔστιν ᾗσι καὶ κατὰ τὴν ἕδρην, ὥσπερ μοι εἴρηται ἐν τῇσι παρθενίῃσι νούσοισι, I, p. 10.

[2] Ὁκοῖα εἴρηται ἀμφὶ τῆς παρθένου, ᾗ τὰ ἐπιφαινόμενα πρῶτα ὥρουσεν ἄνω, I, § 41.

sacrée, qui, § 17, réfuta cette hypothèse et y substitua celle du cerveau, organe de l'intelligence. Je dis hypothèse, car il n'était pas possible d'en établir positivement la preuve. Cette preuve a été donnée longtemps après. C'est ainsi que les Pythagoriciens, qui faisaient tourner la terre autour du soleil, n'émettaient, de leur temps, qu'une hypothèse, élevée plus tard à l'état de chose démontrée.

BIBLIOGRAPHIE.

MANUSCRITS.

2146 = C, 2254 = D, 2144 = F, 2141 = G, 2142 = H, 2140 = I, 2143 = J, 2145 = K, Cod. Serv. ap. Foes = L, 2332 = X, Cod. Fevr. ap. Foes = Q'.

ÉDITIONS, TRADUCTIONS ET COMMENTAIRES.

Mauritii Cordæi ed. Græc. et lat. cum adnot. Paris, 1574, in-8°. — Jo. B. Donati Comm. Luccæ 1582, in-4°. Francof., 1591, in-8°. — Jo. Stephani comment. Venet. 1635, in-fol. — Claudii Tardy paraphrasis in libr. De virginum morbis, Paris, 1648, in-8°. — Les pronostics d'Hippocrate avec son traité des maladies des Vierges, par le marquis de Mirabeau, Paris, 1668, in-12.

ΠΕΡΙ ΠΑΡΘΕΝΙΩΝ.

---

1. Ἀρχή μοι τῆς ξυνθέσιος τῶν [1] αἰειγενέων ἰητρικῆς· οὐ γὰρ δυνατὸν τῶν νουσημάτων τὴν φύσιν γνῶναι, ὅ πέρ ἐστι τῆς τέχνης ἐξευρεῖν, [2] ἢν μὴ γνῷ τὴν ἐν τῷ ἀμερεῖ κατὰ τὴν ἀρχὴν, ἐξ ἧς διεκρίθη. Πρῶτον περὶ τῆς ἱερῆς [3] νούσου καλεομένης, καὶ περὶ τῶν ἀποπλήκτων, καὶ περὶ τῶν δειμάτων, ὁκόσα φοβεῦνται οἱ ἄνθρωποι ἰσχυρῶς, ὥστε παραφρονέειν καὶ ὁρῆν δοκέειν δαίμονάς τινας ἐφ' ἑωυτῶν δυσμενέας, ὁκότε μὲν νυκτὸς, ὁκότε δὲ ἡμέρης, ὁκότε δὲ ἀμφοτέρῃσι τῇσιν ὥρῃσιν· ἔπειτα ἀπὸ τῆς τοιαύτης [4] ὄψιος πολλοὶ ἤδη ἀπηγχονίσθησαν, πλέονες δὲ γυναῖκες ἢ ἄνδρες· ἀθυμοτέρη γὰρ καὶ ὀλιγωτέρη [5] ἡ φύσις ἡ γυναικείη. Αἱ δὲ παρθένοι, ὁκόσῃσιν [6] ὥρη γάμου, παρανδρούμεναι, τοῦτο μᾶλλον πάσχουσιν ἅμα τῇ καθόδῳ τῶν ἐπιμηνίων, πρότερον οὐ μάλα ταῦτα κακοπαθέουσαι· ὕστερον γὰρ τὸ αἷμα ξυλλείβεται ἐς τὰς μήτρας, ὡς ἀποῤῥευσόμενον· ὁκόταν οὖν τὸ στόμα τῆς ἐξόδου μὴ [7] ᾖ ἀνεστομωμένον, τὸ δὲ αἷμα πλέον ἐπιῤῥέῃ [8] διά τε τὰ σιτία καὶ τὴν αὔξησιν τοῦ σώματος, τηνικαῦτα οὐκ ἔχον τὸ αἷμα ἔκρουν ἀναΐσσει ὑπὸ πλήθεος ἐς τὴν καρδίην καὶ ἐς τὴν διάφραξιν· ὁκόταν οὖν ταῦτα πληρωθέωσιν, ἐμωρώθη ἡ καρδίη· [9] εἶτα ἐκ τῆς μωρώσιος νάρκη· [10] εἶτ' ἐκ τῆς νάρκης παράνοια ἔλαβεν. Ὥσπερ ὁκόταν καθημένου πουλὺν χρόνον τὸ ἐκ τῶν ἰσχίων καὶ μηρῶν αἷμα ἀποπιεχθὲν ἐς τὰς κνήμας καὶ τοὺς πόδας

[1] Ἀειγενέων vulg. – αἰεὶ γενέων D. – αἰειγενέων FGHIJK. – νεηγενέων C. – Voyez sur ce passage, p. 527. – νοσ. CDGHIJ, Ald., Frob. – εἴ πέρ (ὅ περ C; ἥ περ al. manu H) ἐστι τῆς τέχνης (τίς pro τῆς τ. C) vulg. — [2] εἰ C. – μέρει C. — [3] νόσου vulg. – νούσου CD, Lind. – ἀποπληκτικῶν C. – οἱ om. CDGHIJK, Ald. – ἰσχυρῶς ἀνθρ. C. – παραφρονήσειν C. – δοκέει FGI. – ἀφ' DGHIJK. – ἑαυτῶ C. – ὁκόταν (bis) C. — [4] ὄψηος C. – ἀπηχονίσθησαν (sic) C. – ληπηροτέρη pro ὀλ. C, Vatic. Codd. ap. Foes in not. – ὀλιγοτέρη D. — [5] ἡ DGHIJK, Ald. – ἡ om. vulg. — [6] ὧραι Codd. Regg. ap. Foes in not. – κακοπαθοῦσαι K. – κακοπαθέουσιν C. – ξυλλάβεται vulg. – ξυλλίβεται C. – ξυλλείβεται DGHIJK, Ald., Lind. – εἰς C. – ἀπορευσάμενον vulg. – ἀπορευσήμενον C. – ἀπορευσόμενον DHI – ἀποῤῥευσόμενον JK. — [7] εἴη vulg. – ᾖ C. — [8] δεῖ pro διὰ C. – τὰ HJ. – τὰ om. vulg. – σιτεῖα C. – τὸ αἷμα om. K. – πλή-

DES MALADIES DES JEUNES FILLES.

